ἀστραπὴν δείξας τὴν κατάπτωσιν· αὐτὸν καὶ Ἰούδας ἐζήλωσε·
τῷ γὰρ Χριστῷ ἀντάρας καὶ ἀνιῶν πρὸς κέντρα, τὰς βάσεις συνετρίβη
καὶ ἐν βαράθρῳ κατηνέχθη Ἅιδου, ἐκεῖ τὸ κέρδος πληρωθείς.
Ἴλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

κα'

Ἦλθεν οὖν τρέχων ὁ ἄνομος καὶ φιλεῖ ἐν δόλῳ τὸν φιλάνθρωπον
καὶ ἀναιρεῖ κατὰ διάνοιαν
τὸν βουλῇ πάθος ἑλόμενον καὶ ζωὴν πᾶσι δωρούμενον·
πρόβατον τοῦ Χριστοῦ ἐμάνθανε,
λύκος δὲ τῷ ποιμένι γέγονεν ὡς ἄγριος θὴρ ἐπερχόμενος.
Φίλημα σὸν προσφέρεις; Φίλημα ποῖον, ἄφρον; Φίλημα προδοσίας·
καὶ οὐκ αἰσχύνῃ τὸν ἐχθρὸν ζηλώσας, αὐτοῦ μανθάνων τὰς βουλάς.
Ἴλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

κβ'

Μεῖνον μικρόν, ὦ πανάθλιε, ἵνα ὄψῃ δίκην ἀμετάθετον·
τὸ συνειδός σου κατακρίνει σε,
ἵνα γνῷς ὅπερ ἐποίησας τῷ δεινῷ μόρῳ νεκρούμενος·
δένδρον σοι γίνεται ὡς δήμιος
ἄξιον τὸν μισθόν σοι φέροντα· καὶ ποῦ σοι τὸ χρῆμα, φιλόπλουτε;
Ἀλλὰ καὶ τοῦτο δώσεις καὶ σεαυτὸν οὐ σώσεις μετανοῶν ἀκαίρως,
ὅτι προέδωκας ὃν εἶχες πλοῦτον τὸν ψυχικόν σου, τὸν Χριστόν.
Ἴλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

κγ'

Ἅγιε, ἅγιε, ἅγιε, ὁ Θεὸς τῶν πάντων, ὁ τρισάγιος,
τοὺς δούλους σου ῥῦσαι τοῦ πτώματος
καὶ τὸ πλάσμα σου ἀνάστησον τοῦ φυγεῖν τοιοῦτον κίνδυνον.
Ταῦτα οὖν, ἀδελφοί, γινώσκοντες
καὶ τὴν τοῦ πράτου πτῶσιν βλέποντες, τοὺς ἑαυτῶν πόδας στηρίξωμεν·
στήσωμεν οὖν τὰς βάσεις ἐπὶ τὰς ἀναβάσεις τῶν ἐντολῶν τοῦ κτίστου
καὶ τὴν τοῦ Ἅιδου φύγωμεν πορείαν βοῶντες πρὸς τὸν λυτρωτήν·
Ἴλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

(Κατά την έκδοση του J.GROSDIDIER DE MATONS, Romanos le Mélode,Hymnes,t.IV,Paris 1967, 55-97 (=Sources Chrétiennes 128).

Τῷ Σαββάτῳ τῆς Τυροφάγου. Κοντάκιον πολλὴν ἔχον ὠφέλειαν καὶ κατάνυξιν ψαλλόμενον εἰς ὁσίους μοναχούς, ἀσκητὰς καὶ μοναζούσας. Ἡ ἀκροστιχίς: **« Τοῦ ταπεινοῦ Ῥωμανοῦ ὁ ψαλμὸς οὗτος ».** *Ἦχος πλ. δ'. Πρὸς τό·* **« Ὡς ἀπαρχὰς τῆς φύσεως ».**

1

Ὡς εὐσεβείας κήρυκας καὶ ἀσεβείας φίμωτρα
τῶν θεοφόρων τὸν δῆμον ἐφαίδρυνας τῇ ὑφηλίῳ λάμποντα,
ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ τελείᾳ
τοὺς Σὲ δοξάζοντας καὶ μεγαλύνοντας
διαφύλαξον ψάλλειν καὶ ᾄδειν Σοι
Ἀλληλούια.

2

Ἕτερον Κοντ(άκιον)

Οἱ ἐκ τοῦ βίου σήμερον πρὸς νοητὸν παράδεισον
τὴν κατοικίαν ποιήσαντες ἐν μετανοίᾳ κράζωμεν·
« Σῶσον, μόνε οἰκτῖρμον, τοὺς εἰς Σὲ προσφυγόντας.
Ἰδοὺ γὰρ πάντα ἐγκατελίπομεν
καὶ Σὲ μόνον ποθοῦντες ψάλλομεν
Ἀλληλούια ».

Τὸ αὐτὸ ψάλλεται καὶ εἰς σχῆμα μοναχῶν.

Οἱ οἶκοι πρός· « Οἱ ἐν πάσῃ τῇ γῇ μαρτυρή⟨σαντες⟩ ».

α' Τοῖς τοῦ βίου τερπνοῖς ἐνητένιζον
λογισμῷ θεωρῶν τὰ γινόμενα
καὶ μετρήσας αὐτοῦ τὰ ἐπώδυνα
τὴν ζωὴν τῶν βροτῶν ἐταλάνισα·
ὑμᾶς δὲ μόνους ἐμακάρισα,
τοὺς καλὴν ἐπιλεξαμένους μερίδα,
τὸ ποθεῖν τὸν Χριστὸν καὶ συμμένειν Αὐτῷ
καὶ συμψάλλειν τερπνῶς τῷ προφήτῃ Δαβὶδ
Ἀλληλούια.

β' Οὐδὲ ἕνα βροτὸν εἶδον ἄλυπον·
ὁ γὰρ κόσμος ἑκάστοτε τρέπεται.
Τὰ γὰρ ἄρτι καλῶς, μετ' ὀλίγον κακῶς
καὶ ὁ χθὲς ἱλαρός, σήμερον αὐχμηρός.
Πτωχὸς αἰφνίδιον ὁ πλούσιος,
ἀθυμεῖ νῦν ὁ πρώην ἐν εὐθυμίᾳ.
Ἀλλ' ὑμεῖς τούτων πάντων ἐλεύθεροι·
ἐδουλώθητε γὰρ ψυχικῶς τῷ ψαλμῷ
Ἀλληλούια.

γ' Ὑψαυχεῖ κατὰ πένητος πλούσιος
κατεσθίων αὐτοῦ πᾶσαν δύναμιν.
Κοπιᾷ γεωργὸς καὶ ὁ κτήτωρ τρυγᾷ·
ἄλλου κάμνοντος ἄλλος εὐφραίνεται.
Ἰδρῶν συνάγει ὁ πενόμενος,
ἵνα μόχθῳ κομίσηται, ἃ σκορπίζει.
Καὶ ὑμῶν πᾶς ὁ κόπος πεφύλακται
ἀπαράλλακτον ἔχων σφραγῖδα Χριστοῦ.
Ἀλληλούια.

δ' Τοὺς ἀγάμους ἐλπίδες συγκαίουσι,
τοὺς ἐν γάμῳ φροντίδες συγκόπτουσι.
Τοὺς ἀτέκνους ἡ λύπη ἐμάρανε,
πολυτέκνους ἡ θλῖψις ἀνήλωσεν.
Οἱ μὲν τὸν γάμον ἀποδύρονται,
ἄλλοι πάλιν ἀτεκνίαν θρηνοῦσι.
Καὶ ὑμῶν ἐπὶ τούτοις ὁ γέλως πλατύς·
οὐ γὰρ ἔχετε μέριμναν ἄλλην, εἰ μὴ τὸν ψαλμὸν
Ἀλληλούια.

ε' Ἁλμυρὰ τῆς θαλάσσης τὰ ὕδατα,
γλυκηρὰ τῇ κοιλίᾳ τὰ βρώματα.
Ῥιψοκίνδυνοι ἔμαθον ἄνθρωποι·
ἡ γαστὴρ γὰρ αὐτοὺς κατηνάγκασε.
Ψυχὰς σανίσιν ἐμπιστεύουσι,
τροφῆς χάριν καὶ ζάλης καταφρονοῦσι.
Ἀλλ' ὑμῶν ἡ γαλήνη ἀχείμαστος·
ὡς γὰρ ἄγκυρα ὑμῖν ἐστιν ὁ ψαλμὸς
Ἀλληλούια.

ς' Πειρατὰς καὶ χειμῶνας καὶ κλύδωνας
παρορῶσιν οἱ χρήματα στέργοντες.
Τῶν κυμάτων τὸ γαῦρον θεώμενοι
δειλιῶσιν, ἀλλ' ὅμως οὐ φεύγουσιν·
ἐλπὶς γὰρ πλούτου τούτους εἵλκυσεν,
κἂν πνιγμὸν ἐπενέγκῃ καὶ κατάπληξιν.
Τὸ δὲ σκάφος ὑμῶν ἀναυάγητον·
ὡς λιμένα γὰρ εὔδιον εὗρατε τὸν ψαλμὸν
Ἀλληλούια.

ζ' Εἰ καὶ μέχρις αἰῶνος παρέμενον
τὰ παρόντα μηδέπω λυόμενα,
οὐδὲ οὕτως τοῖς ἔχουσιν σύνεσιν
αἱρετὰ καὶ ποθούμενα ἔδοξεν·
ὅτι δὲ καὶ τὸ τάχος παρέρχονται
καὶ πρὸ τέλους πολλάκις ὀλλύμενα
ὁ ἐάσας αὐτὰ τρισμακάριστος,
ἐὰν πίστει καὶ πόθῳ μελετᾷ τὸν ψαλμὸν
Ἀλληλούια.

η' Ἵνα δὲ συνελὼν εἴπω, ἅπαντα
τὰ ἐν κόσμῳ σὺν κόσμῳ παρέρχεται.
Ὅτε γὰρ βίον πάντα κερδίσωμεν,
τότε ὄντως τὸν τάφον οἰκήσομεν.
Καλῶς οὖν ἔφησεν ὁ πάνσοφος
« ματαιότης ματαιοτήτων τὰ πάντα ».
Εἰ γάρ ἐστι θανεῖν, διατί καὶ πλουτεῖν;
Ἀγαθὸν οὖν ἡσύχως τὸ ψάλλειν ἀπαύστως Χριστῷ
Ἀλληλούια.

ϑ' Νῦν εἰσιν ἐν ὑμῖν οἱ βοῶντές μοι,
κἂν μὴ στόματι, ἀλλὰ τῷ πνεύματι.
« Πονηρὸς μὲν ὁ βίος, ὡς ἔφησας,
σὺ δὲ τούτου ἀγμὴν ἀπησχόλησαι.
Δοκὸς ἐπίκειται σοῖς ὄμμασι
καὶ πῶς βλέπεις τὸ κάρφος τῶν ἀδελφῶν ἆραι;
Εἰ καλόν, ὃ λαλεῖς, διατί μὴ ποιεῖς;
ἀλλ' οὕτω κατακέκρισαι μὴ μελετῶν τὸν ψαλμὸν
Ἀλληλούια ».

ι' Ὅμως μέντοι οὐ πάντες ἐδέξαντο,
οἷς ὁ Κύριος τότε προσέταξε.
Τῷ ἑνὶ γὰρ εἰπὼν πᾶσιν ἔφησε·
« πώλησόν σου τὰ πάντα καὶ ἔπου μοι ».
Οἱ μὲν οὖν ἤκουσαν ὡς φρόνιμοι,
οἱ δὲ οὐ προσέσχον ὡς οἱ ὅμοιοί μου·
Εἷς γὰρ τούτων εἰμί, κἂν μὴ λέξητέ μοι·
διὰ τοῦτο ὑμᾶς ἐξαιτῶ τὴν ᾠδὴν
Ἀλληλούια.

ια' Ὑπεκκαίω ὑμῶν τὴν προαίρεσιν
πρὸς τὸ ψάλλειν καὶ τέρπειν τὸν Κύριον,
ἵν', ὑμῖν ὁ μισθὸς ὅτε δίδοται,
μεθ' ὑμῶν καὶ ἡ μνήμη μου γίνεται.
Ἀκούσατε οὖν τῶν ῥημάτων μου,
τῶν δὲ πράξεών μου πόρρω ἀποχωρεῖτε.
Ἀγαπᾶτε τοὺς λόγους τῶν ἔργων ἐκτός·
οὐ γὰρ ἔχω τὸ τί ᾄδειν, εἰ μὴ τὸν ψαλμὸν
Ἀλληλούια.

ιβ' Ῥύπον βίου καλῶς ἀπεφύγετε
καὶ πηγῇ καθαρᾷ προσεφύγετε.
Τῶν ἀσάρκων τὸν βίον ζηλώσαντες
τῆς σαρκὸς μὴ ποιεῖσθε τὴν πρόνοιαν.
Μὴ ἀγαπᾶτε, ἃ ἀφήκατε·
ἃ ἐλύσατε, μὴ ἐποικοδομεῖτε,
ἵνα μὴ τοῦ ἐχθροῦ γέλως γένησθε·
ἀλλὰ στήκετε νήφοντες, ψάλλοντες τὴν ᾠδὴν
Ἀλληλούια.

ιγ' Ὧν τὰς πράξεις καλῶς ἀπεφύγετε,
τούτων νῦν καὶ τὴν μνήμην μισήσατε.
Ἀφιλόνεικον βίον καὶ ἄφθορον
ἀναλάβετε ἅπαξ ὡς ἄγγελοι
τῇ τιμῇ ἀλλήλους προηγούμενοι.
Μὴ ἐρεῖτε τοῦτο σὸν ἢ τοῦτο ἐμόν·
οὐ γὰρ ἔχει μονάζων τι ἴδιον,
ὅτι πάντων τὰ πάντα ἐστὶ καὶ ὁ ψαλμὸς·
Ἀλληλούια.

ιδ' Μὴ ἀλλήλων ἁπλῶς κατεπαίρεσθε.
« Τί γὰρ ἔχεις », φησίν, « ὃ οὐκ ἔλαβες; »
Ὁ νηστεύων μὴ κρίνῃ τὸν τρώγοντα
καὶ ὁ τρώγων τιμάτω τὸν ἄσιτον·
ὁ μὲν γὰρ τρώγει δι' ἀσθένειαν,
ὁ δὲ πάλιν δι' ἐγκράτειαν νηστεύει.
Ἄλλος κάμνει μοχθῶν, ἄλλος ψάλλει ποθῶν,
εἷς δέ ἐστι μισθὸς τῷ ποθοῦντι τὸν Χριστόν·
Ἀλληλούια.

ιε' Ἀλλ' ἐρεῖ τις « ἐγὼ περισσότερον,
ὡς εἰδὼς τὰς Γραφάς, ἔχω καύχημα ».
Τί οὖν ὁ ἁλιεὺς Πέτρος ἔμαθεν,
ὅτι τοῦ Μωϋσέως προτέτακται;
Τῶν Αἰγυπτίων πᾶσαν φρόνησιν
ὥσπερ ἔπος ἐξέμαθεν ὁ προφήτης
καὶ τοῦ Πέτρου λαλοῦντος σιγᾷ Μωϋσῆς.
Μὴ βδελύξῃ οὖν τὸν ἀμαθῆ ὁ μαθὼν τὸν ψαλμὸν
Ἀλληλούια.

ις' Νευρωθῶμεν τῇ πίστει σφιγγόμενοι
οἱ τῷ σώματι ἀποταξάμενοι.
Ὁπλισθῶμεν ἀγρύπνως τοῖς ᾄσμασιν·
οἱ μισοῦντες ἡμᾶς οὐ καθεύδουσιν.
Καὶ τί τὸ ὅπλον τοῦ μονάζοντος;
Ὑποτάσσεσθαι πράως τῷ ἡγουμένῳ,
ἀγαπᾶν τὸν Χριστὸν καὶ φιλεῖν ἀδελφοὺς
καὶ εὐπρόθυμον εἶναι τῷ καιρῷ τοῦ ψαλμοῦ
Ἀλληλούια.

ιζ' Ὅταν εἰς καθ' ἑνὸς ὑπεραίρεσθε,
τότε ὑπὸ τοῦ ἐχθροῦ παρεμπαίζεσθε·
ἔργον γὰρ ἔχει τὸ ὑπεισέρχεσθαι
καὶ φαντάζειν τὸν νοῦν τῶν σαθρῶν ἀδελφῶν.
Τὸν μὲν ἐπαίρει ὡς καλλίφωνον,
τὸν δὲ πάλιν ὡς τρανόλαλον φυσιοῖ
καὶ τυφλώσας αὐτούς, ἐγγελᾷ πρὸς αὐτούς.
Ἀλλ' ἐκνήψαντες στήκετε ἐν τῇ ᾠδῇ
Ἀλληλούια.

ιη' Ὑπεισῆλθε πολλάκις τῷ κάμνοντι
ἀδελφῷ καὶ φησί· « τί εἰς μάτην μοχθεῖς;
Ἰδοὺ ἄλλος μὴ κάμνων πρωτεύει σου,
ἀφορμὴν τοῦ λαλεῖν προτετίμηται ».
Κἀκεῖνος τούτοις ὡς ἁπλούστερος
πιστωθείς, εἴασεν ὅθεν ἐδικαιοῦτο
καὶ λιπὼν τὸ καμεῖν μελετᾷ τὸ λαλεῖν.
Μὴ οὖν σχῇ ποτε λαλιὰν παρεκτὸς τῆς ᾠδῆς
Ἀλληλούια.

ιθ' [Ὁπλισθέντες τῇ πίστει ἑστήκατε
τοὺς αὐχένας ὑμῶν κάτω κλίναντες
τὸ μὲν σῶμα εἰς γῆν κάτω νεύοντες,
τῇ ψυχῇ δὲ Χριστὸν ἄνω βλέποντες,
καραδοκοῦντες καὶ σπουδάζοντες
μεταστῆναι τοῦ βίου τούτου
καὶ κατοικῆσαι ἐν ταῖς τῶν ἁγίων πάντων σκηναῖς,
ἵνα ὥσπερ ἐνταῦθα ἀναβοᾶτε τὴν ᾠδὴν
Ἀλληλούια].

κ' Ψυχικῶς τὸν κανόνα ποθήσατε,
ὃν καλῶς καὶ φρονίμως ᾑρήσασθε.
Μετ' ἀλλήλων ἐὰν ἀντιβάλητε,
χώραν τῷ πονηρῷ μὴ παράσχητε.
Μηδεὶς ῥεπέτω πρὸς τὴν ἔξοδον·
ὡς γὰρ λέων θηρᾷ ὑμᾶς ὁ πανοῦργος
καὶ τὴν μάνδραν κυκλῶν ζητεῖ βρῶσιν ἀμνῶν.
Μὴ οὖν τις καταλίπῃ τὸ ψάλλειν ἀεὶ τὴν ᾠδὴν
Ἀλληλούια.

κα' Ἂν ὁ νοῦς σου ποτὲ σκανδαλίζῃ σε
ἐρεθίζων σε ἐπὶ τὴν ἔξοδον
καὶ φησί· « τί ἐνταῦθα συγκέκλεισαι ;
πόσοι ἔξωθεν ἐδικαιώθησαν ; »,
εἰπὲ εὐθέως, ἅπερ ἔμαθες·
ὅτι « εἶδον ἐν κόσμῳ ἀντιλογίαν
καὶ πολλὴν ἀνομίαν ἐν πόλεσιν.
Διό, ἔνθα οἰκῶ, κελαδῶ τὸν ψαλμὸν
Ἀλληλούια ».

κβ' Λέγει πάλιν πρὸς σέ· « καὶ πῶς δύνασαι
τὸν κανόνα τελεῖν τοῦ μονάζοντος ;
ὁ ζυγὸς γὰρ βαρὺς καὶ δυσβάστακτος
καὶ ὁ τοῦτον μὴ φέρων ἀχρήσιμος ».
Ἐρεῖς εὐθέως πρὸς τὸν δόλιον·
« ὁ κανὼν κατὰ δύναμιν ἀπαιτεῖ με·
ἂν γὰρ τοῦτο μὴ μάθω, τὸ ἄλλο κρατῶ·
ἂν οὐκ ἰσχύω καμεῖν, μελετῶ τὴν ᾠδὴν
Ἀλληλούια ».

κγ' Μετὰ τῶν ἐργατῶν, ὧν ἐκάλεσεν
ἔνδον τοῦ ἀμπελῶνος ὁ Κύριος,
καὶ ὑμεῖς τοῦ καμεῖν ἐσπουδάσατε.
Τὸ σαθρὸν τῆς ψυχῆς ἀποθέμενοι
ἀγγέλων βίον ἀνελάβετε,
ἵν' εἰσέλθητε τὴν ἑνδεκάτην ὥραν
μετὰ τῶν ἐνεγκάντων τὸν καύσωνα·
καὶ ὑμῶν γὰρ ὁ κλῆρός ἐστιν ὁ μισθός.
Ἀλληλούια.

κδ' Ὁ εἰπὼν « ἐγώ εἰμι ἡ ἄμπελος
καὶ ὑμεῖς μου ὑπάρχετε κλήματα »
ἑρμηνεύων ἡμῖν τὴν συνάφειαν
τὴν Αὐτοῦ πρὸς ἡμᾶς τοῦτο ἔφησε·
καὶ διὰ τοῦτο ἐργασώμεθα,
ἵν' οὕτως γενώμεθα μετὰ κόπου
ὡς Αὐτὸς ἐν ἡμῖν καὶ ἡμεῖς ἐν Αὐτῷ,
ὅτι θέλει καὶ χαίρει ἀκούειν τὴν ᾠδὴν
Ἀλληλούια.

Ὡς εὐφρονοῦντες παρθενεύετε·
παρθενία γάρ ἐστι ψυχῆς ἁγνεία,
δι' ἧς ἔχετε βλέπειν τὴν δόξαν Χριστοῦ
ἁδουχοῦντες Αὐτῷ μετ' ᾠδῆς τὸν ψαλμὸν
Ἀλληλούια.

κζ' Ὑπ' ἐμοῦ νῦν ὑμεῖς ἐδιδάχθητε
κατακρίνειν ἐμὲ τότε μέλλοντες.
Διὰ τοῦτο Κυρίῳ δεήθητε,
ἵνα ἄνεσιν εὕρω σὺν πᾶσιν ὑμῖν
καὶ ἀπολαύσω σὺν ὑμῖν κἀγὼ
τῆς χαρᾶς ἐκείνης τῆς αἰωνίου τότε.
Τοῦ Θεοῦ γάρ ἐστε εὐωδία ὑμεῖς
καὶ αἰτοῦμαι ὑμᾶς τοῦ συμψάλλειν ἀεὶ
Ἀλληλούια.

κη' Τῶν ἀγγέλων τὸν βίον βιῶσαι νῦν
μέγα Κύριος ὄντως παρέσχεν ὑμῖν.
Μεῖζον πάλιν καὶ τοῦτο εὑρήκατε
ἔχειν ὡς ἀδελφὸν τὸν ἡγούμενον,
πραέως πάντων ἀνεχόμενον,
πτωχὸν ἤθει καὶ πλούσιον τῇ φρονήσει,
τάξει ὑπὲρ ὑμᾶς καὶ οὐδὲν καθ' ὑμᾶς,
πάντας στέργοντα, πάντας καλοῦντα εἰπεῖν
Ἀλληλούια.

κθ' Οὐκ ἀρκεῖ μοι ὁ λόγος πρὸς ἔπαινον
τῆς τοσαύτης αὐτοῦ ἡμερότητος.
Καὶ εἰσὶν ἐν ὑμῖν μαρτυροῦντές μοι
καὶ κυροῦντες τοῖς ἔργοις τοὺς λόγους μου.
Ὅτε πολλάκις ἀπεδήμησαν
πολλοὶ τῶν ἀμνῶν ἔξω τῆς μάνδρας ταύτης
καὶ τῇ τούτου εὐχῇ ἐπανέλυσαν,
οὓς δεξάμενος πάλιν προσήνωσε βοᾶν
Ἀλληλούια.

λ' *Σὺ οὖν, δέσποτα, ὡς παντοδύναμος,*
τὴν ζωὴν ἡμῶν πᾶσαν κυβέρνησον. 275
Τῷ ποιμένι τὴν ποίμνην συντήρησον
καὶ ἐμὲ ταῖς εὐχαῖς αὐτοῦ στήριξον.
Τοῦ ἀγελάρχου τὸ μνημόσυνον
πολλοῖς χρόνοις παράσχου ἡμῖν ἐκτελεῖν
καὶ τὴν σὴν βασιλείαν ἀεὶ ἀνυμνεῖν· 280
ἀγαθὸν γὰρ τὸ λέγειν συχνῶς τὸν ψαλμὸν
Ἀλληλούια.

(Κατά την έκδοση : Ν.Β.ΤΩΜΑΔΑΚΗ, Ρωμανού του Μελωδού Ὕμνοι τ.Γ', Αθήναι 1957, σσ.287-353, εκδίδει Π.Νικολόπουλος).

12.-ΑΝΩΝΥΜΟΥ, ΑΚΑΘΙΣΤΟΣ ΥΜΝΟΣ

κοντάκιον. ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,
ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια
ἀναγράφω σοι ἡ πόλις σόν, θεοτόκε·
ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον
ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,
ἵνα κράζω σοι· χαῖρε, νύμφη ἀνύμφευτε.

Οἱ οἶκοι τοῦ ἀκαθίστου ὕμνου κατ' ἀλφάβητον.

Ἄγγελος πρωτοστάτης | οὐρανόθεν ἐπέμφθη
εἰπεῖν τῇ θεοτόκῳ τὸ «χαῖρε»·
καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ
σωματούμενόν σε θεωρῶν, κύριε,
ἐξίστατο καὶ ἵστατο, | κραυγάζων πρὸς αὐτὴν τοιαῦτα·
χαῖρε, δι' ἧς ἡ χαρὰ ἐκλάμψει·
χαῖρε, δι' ἧς ἡ ἀρὰ ἐκλείψει·
χαῖρε, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις·
χαῖρε, τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις·
χαῖρε, ὕψος δυσανάβατον | ἀνθρωπίνοις λογισμοῖς·
χαῖρε, βάθος δυσθεώρητον | καὶ ἀγγέλων ὀφθαλμοῖς·
χαῖρε, ὅτι ὑπάρχεις | βασιλέως καθέδρα·
χαῖρε, ὅτι βαστάζεις | τὸν βαστάζοντα πάντα·
χαῖρε, ἀστὴρ ἐμφαίνων τὸν ἥλιον·
χαῖρε, γαστὴρ ἐνθέου σαρκώσεως·
χαῖρε, δι' ἧς νεουργεῖται ἡ κτίσις·
χαῖρε, δι' ἧς βρεφουργεῖται ὁ κτίστης·
χαῖρε, νύμφη ἀνύμφευτε.

Βλέπουσα ἡ ἁγία | ἑαυτὴν ἐν ἀγνείᾳ
φησὶ τῷ Γαβριὴλ θαρσαλέως·
τὸ παράδοξόν σου τῆς φωνῆς
δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται·
ἀσπόρου γὰρ συλλήψεως | τὴν κύησιν πῶς λέγεις κράζων·
Ἀλληλούϊα.

Γνῶσιν ἄγνωστον γνῶναι | ἡ παρθένος ζητοῦσα
ἐβόησε πρὸς τὸν λειτουργοῦντα·
ἐκ λαγόνων ἀγνῶν υἱὸν
πῶς ἐστι τεχθῆναι δυνατόν; λέξον μοι·
πρὸς ἣν ἐκεῖνος ἔφησεν ἐν φόβῳ, | πλὴν κραυγάζων οὕτω·
χαῖρε, βουλῆς ἀπορρήτου μύστις·
χαῖρε, σιγῆς δεομένων πίστις·
χαῖρε, τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον·
χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον·
χαῖρε, κλίμαξ ἐπουράνιε, | ᾗ κατέβη ὁ θεός·
χαῖρε, γέφυρα μετάγουσα | τοὺς ἐκ γῆς πρὸς οὐρανόν·
χαῖρε, τὸ τῶν ἀγγέλων | πολυθρύλλητον θαῦμα·
χαῖρε, τὸ τῶν δαιμόνων | πολυθρήνητον τραῦμα·
χαῖρε, τὸ φῶς ἀῤῥήτως γεννήσασα·
χαῖρε, τὸ «πῶς» μηδένα διδάξασα·
χαῖρε, σοφῶν ὑπερβαίνουσα γνῶσιν·
χαῖρε, πιστῶν καταυγάζουσα φρένας·
χαῖρε, νύμφη ἀνύμφευτε.

Δύναμις τοῦ ὑψίστου | ἐπεσκίασε τότε
πρὸς σύλληψιν τῇ ἀπειρογάμῳ·
καὶ τὴν εὔκαρπον ταύτης νηδὺν
ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι
τοῖς θέλουσι θερίζειν σωτηρίαν | ἐν τῷ ψάλλειν οὕτως·
Ἀλληλούϊα.

Ἔχουσα θεοδόχον | ἡ παρθένος τὴν μήτραν
ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ·
τὸ δὲ βρέφος ἐκείνης εὐθὺς
ἐπιγνοὺν τὸν ταύτης ἀσπασμὸν ἔχαιρε
καὶ ἅλμασιν ὡς ᾄσμασιν | ἐβόα πρὸς τὴν θεοτόκον·
χαῖρε, βλαστοῦ ἀμαράντου κλῆμα·
χαῖρε, καρποῦ ἀκηράτου κτῆμα·
χαῖρε, γεωργὸν γεωργοῦσα φιλάνθρωπον·
χαῖρε, φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα·
χαῖρε, ἄρουρα βλαστάνουσα | εὐφορίαν οἰκτιρμῶν·
χαῖρε, τράπεζα βαστάζουσα | εὐθηνίαν ἱλασμῶν·

χαῖρε, ὅτι λειμῶνα | τῆς τρυφῆς ἀναθάλλεις·
χαῖρε, ὅτι λιμένα | τῶν ψυχῶν ἑτοιμάζεις·
χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα·
χαῖρε, παντὸς τοῦ κόσμου ἐξίλασμα·
χαῖρε, θεοῦ πρὸς θνητοὺς εὐδοκία·
χαῖρε, θνητῶν πρὸς θεὸν παρρησία·
χαῖρε, νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν ἔχων | λογισμῶν ἀμφιβόλων
ὁ σώφρων Ἰωσὴφ ἐταράχθη,
πρὸς τὴν ἄγαμόν σε θεωρῶν
καὶ κλεψίγαμον ὑπονοῶν, ἄμεμπτε·
μαθὼν δὲ σου τὴν σύλληψιν | ἐκ πνεύματος ἁγίου ἔφη·
Ἀλληλούϊα.

Ἤκουσαν οἱ ποιμένες | τῶν ἀγγέλων ὑμνούντων
τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν·
καὶ δραμόντες ὡς πρὸς ποιμένα
θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον
ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, | ἣν ὑμνοῦντες εἶπον·
χαῖρε, ἀμνοῦ καὶ ποιμένος μήτηρ·
χαῖρε, αὐλὴ λογικῶν προβάτων·
χαῖρε, ἀοράτων ἐχθρῶν ἀμυντήριον·
χαῖρε, παραδείσου θυρῶν ἀνοικτήριον·
χαῖρε, ὅτι τὰ οὐράνια | συναγάλλεται τῇ γῇ·
χαῖρε, ὅτι τὰ ἐπίγεια | συγχορεύει οὐρανοῖς·
χαῖρε, τῶν ἀποστόλων | τὸ ἀσίγητον στόμα·
χαῖρε, τῶν ἀθλοφόρων | τὸ ἀνίκητον θάρσος·
χαῖρε, στερρὸν τῆς πίστεως ἔρεισμα·
χαῖρε, λαμπρὸν τῆς χάριτος γνώρισμα·
χαῖρε, δι' ἧς ἐγυμνώθη ὁ ᾅδης·
χαῖρε, δι' ἧς ἐνεδύθημεν δόξαν·
χαῖρε, νύμφη ἀνύμφευτε.

Θεοδρόμον ἀστέρα | θεωρήσαντες μάγοι
τῇ τούτου ἠκολούθησαν αἴγλῃ·
καὶ ὡς λύχνον κρατοῦντες αὐτὸν,
δι' αὐτοῦ ἠρεύνων κραταιὸν ἄνακτα·
καὶ φθάσαντες τὸν ἄφθαστον | ἐχάρησαν, αὐτῷ βοῶντες·
Ἀλληλούϊα.

Ἴδον παῖδες Χαλδαίων | ἐν χερσὶ τῆς παρθένου
τὸν πλάσαντα χειρὶ τοὺς ἀνθρώπους·
καὶ δεσπότην νοοῦντες αὐτὸν,
εἰ καὶ δούλου ἔλαβε μορφὴν, ἔσπευσαν
τοῖς δώροις θεραπεῦσαι καὶ | βοῆσαι τῇ εὐλογημένῃ·

χαῖρε, ἀστέρος ἀδύτου μήτηρ·
χαῖρε, αὐγὴ μυστικῆς ἡμέρας·
χαῖρε, τῆς ἀπάτης τὴν κάμινον σβέσασα·
χαῖρε, τῆς τριάδος τοὺς μύστας φωτίζουσα·
χαῖρε, τύραννον ἀπάνθρωπον | ἐκβαλοῦσα τῆς ἀρχῆς·
χαῖρε, κύριον φιλάνθρωπον | ἐπιδείξασα Χριστόν·
χαῖρε, ἡ τῆς βαρβάρου | λυτρουμένη θρησκείας·
χαῖρε, ἡ τοῦ βορβόρου | ῥυομένη τῶν ἔργων·
χαῖρε, πυρὸς προσκύνησιν παύσασα·
χαῖρε, φλογὸς παθῶν ἀπαλλάττουσα·
χαῖρε, πιστῶν ὁδηγὲ σωφροσύνης·
χαῖρε, πασῶν γενεῶν εὐφροσύνη·
χαῖρε, νύμφη ἀνύμφευτε.

Κήρυκες θεοφόροι | γεγονότες οἱ μάγοι
ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα,
ἐκτελέσαντές σου τὸν χρησμὸν
καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν,
ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη, | μὴ εἰδότα ψάλλειν·
Ἀλληλούϊα.

Λάμψας ἐν τῇ Αἰγύπτῳ | φωτισμὸν ἀληθείας
ἐδίωξας τοῦ ψεύδους τὸ σκότος·
τὰ γὰρ εἴδωλα ταύτης, σωτὴρ,
μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν πέπτωκεν·
οἱ τούτων δὲ ῥυσθέντες | ἐβόων πρὸς τὴν θεοτόκον·
χαῖρε, ἀνόρθωσις τῶν ἀνθρώπων·
χαῖρε, κατάπτωσις τῶν δαιμόνων·
χαῖρε, τῆς ἀπάτης τὴν πλάνην πατήσασα·
χαῖρε, τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα·
χαῖρε, θάλασσα ποντίσασα | Φαραὼ τὸν νοητόν·
χαῖρε, πέτρα ἡ ποτίσασα | τοὺς διψῶντας τὴν ζωήν·
χαῖρε, πύρινε στύλε | ὁδηγῶν τοὺς ἐν σκότει·
χαῖρε, σκέπη τοῦ κόσμου, | πλατυτέρα νεφέλης·
χαῖρε, τροφὴ τοῦ μάννα διάδοχε·
χαῖρε, τρυφῆς ἁγίας διάκονε·
χαῖρε, ἡ γῆ τῆς ἐπαγγελίας·
χαῖρε, ἐξ ἧς ῥέει μέλι καὶ γάλα·
χαῖρε, νύμφη ἀνύμφευτε.

Μέλλοντες Συμεῶνος | τοῦ παρόντος αἰῶνος
μεθίστασθαι τοῦ ἀπατεῶνος,
ἐπεδόθης ὡς βρέφος αὐτῷ,
ἀλλ' ἐγνώσθης τούτῳ καὶ θεὸς τέλειος·
διόπερ ἐξεπλάγη σου | τὴν ἄπειρον σοφίαν κράζων·
Ἀλληλούϊα.

Νέαν ἔδειξε κτίσιν | ἐμφανίσας ὁ κτίστης
ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις,
ἐξ ἀσπόρου βλαστήσας γαστρὸς
καὶ φυλάξας ταύτην, ὥσπερ ἦν, ἄφθορον,
ἵνα τὸ θαῦμα βλέποντες | ὑμνήσωμεν αὐτὴν βοῶντες·
χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας·
χαῖρε, τὸ στέφος τῆς ἐγκρατείας·
χαῖρε, ἀναστάσεως τύπον ἐκλάμπουσα·
χαῖρε, τῶν ἀγγέλων τὸν βίον ἐμφαίνουσα·
χαῖρε, δένδρον ἀγλαόκαρπον, | ἐξ οὗ τρέφονται πιστοί·
χαῖρε, ξύλον εὐσκιόφυλλον, | ὑφ' οὗ σκέπονται πολλοί·
χαῖρε, κυοφοροῦσα | ὁδηγὸν πλανωμένοις·
χαῖρε, ἀποτεννῶσα | λυτρωτὴν αἰχμαλώτοις·
χαῖρε, κριτοῦ δικαίου δυσώπησις·
χαῖρε, πολλῶν πταιόντων συγχώρησις·
χαῖρε, στολὴ τῶν γυμνῶν παρρησίας·
χαῖρε, στοργὴ πάντα πόθον νικῶσα·
χαῖρε, νύμφη ἀνύμφευτε.

Ξένον τόκον ἰδόντες | ξενωθῶμεν τοῦ κόσμου,
τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες·
διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς θεὸς
ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος,
βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος | τοὺς αὐτῷ βοῶντας·
Ἀλληλούϊα.

Ὅλος ἦν ἐν τοῖς κάτω | καὶ τῶν ἄνω οὐδ' ὅλως
ἀπῆν ὁ ἀπερίγραπτος λόγος·
συγκατάβασις γὰρ θεϊκὴ,
οὐ μετάβασις δὲ τοπικὴ γέγονε,
καὶ τόκος ἐκ παρθένου θεολήπτου | ἀκουούσης ταῦτα·
χαῖρε, θεοῦ ἀχωρήτου χώρα·
χαῖρε, σεπτοῦ μυστηρίου θύρα·
χαῖρε, τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα·
χαῖρε, τῶν πιστῶν ἀναμφίβολον καύχημα·
χαῖρε, ὄχημα πανάγιον | τοῦ ἐπὶ τῶν Χερουβίμ·
χαῖρε, οἴκημα πανάριστον | τοῦ ἐπὶ τῶν Σεραφίμ·
χαῖρε, ἡ τἀναντία | εἰς ταὐτὸ ἀγαγοῦσα·
χαῖρε, ἡ παρθενίαν | καὶ λοχείαν ζευγνῦσα·
χαῖρε, δι' ἧς ἐλύθη παράβασις·
χαῖρε, δι' ἧς ἠνοίχθη παράδεισος·
χαῖρε, ἡ κλεὶς τῆς Χριστοῦ βασιλείας·
χαῖρε, ἐλπὶς ἀγαθῶν αἰωνίων·
χαῖρε, νύμφη ἀνύμφευτε·

Πᾶσα φύσις ἀγγέλων | κατεπλάγη τὸ μέγα
τῆς σῆς ἐνανθρωπήσεως ἔργον·

τὸν ἀπρόσιτον γὰρ ὡς θεὸν
ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον,
ἡμῖν μὲν συνδιάγοντα, | ἀκούοντα δὲ παρὰ πάντων· [οὕτως]
Ἀλληλούϊα.

Ῥήτορας πολυφθόγγους | ὡς ἰχθύας ἀφώνους
ὁρῶμεν ἐπὶ σοί, θεοτόκε·
ἀποροῦσι γὰρ λέγειν τό· «πῶς
καὶ παρθένος μένεις καὶ τεκεῖν ἴσχυσας·»
ἡμεῖς δὲ τὸ μυστήριον θαυμάζοντες | πιστῶς βοῶμεν·
χαῖρε, σοφίας θεοῦ δοχεῖον·
χαῖρε, προνοίας αὐτοῦ ταμεῖον·
χαῖρε, φιλοσόφους ἀσόφους δεικνύουσα·
χαῖρε, τεχνολόγους ἀλόγους ἐλέγχουσα·
χαῖρε, ὅτι ἐμωράνθησαν | οἱ δεινοὶ συζητηταί·
χαῖρε, ὅτι ἐμαράνθησαν | οἱ τῶν μύθων ποιηταί·
χαῖρε, τῶν Ἀθηναίων | τὰς πλοκὰς διασπῶσα·
χαῖρε, τῶν ἁλιέων | τὰς σαγήνας πληροῦσα·
χαῖρε, βυθοῦ ἀγνοίας ἐξέλκουσα·
χαῖρε, πολλοὺς ἐν γνώσει φωτίζουσα·
χαῖρε, ὁλκὰς τῶν θελόντων σωθῆναι·
χαῖρε, λιμὴν τῶν τοῦ βίου πλωτήρων·
χαῖρε, νύμφη ἀνύμφευτε.

Σῶσαι θέλων τὸν κόσμον | ὁ τῶν ὅλων κοσμήτωρ
πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε·
καὶ ποιμὴν ὑπάρχων ὡς θεὸς
δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος·
ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας | ὡς θεὸς ἀκούει·
Ἀλληλούϊα.

Τεῖχος εἶ τῶν παρθένων, | θεοτόκε παρθένε,
καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων·
ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς
κατεσκεύασέ σε ποιητὴς, ἄχραντε,
οἰκήσας ἐν τῇ μήτρᾳ σου | καὶ πάντας σοι προσφωνεῖν διδάξας·
χαῖρε, ἡ στήλη τῆς παρθενίας·
χαῖρε, ἡ πύλη τῆς σωτηρίας·
χαῖρε, ἀρχηγὲ νοητῆς ἀναπλάσεως·
χαῖρε, χορηγὲ θεϊκῆς ἀγαθότητος·
χαῖρε· σὺ γὰρ ἀνεγέννησας | τοὺς συλληφθέντας αἰσχρῶς·
χαῖρε· σὺ γὰρ ἐνουθέτησας | τοὺς συληθέντας τὸν νοῦν.
χαῖρε, ἡ τὸν φθορέα | τῶν φρενῶν καταργοῦσα·
χαῖρε, ἡ τὸν σπορέα | τῆς ἀγνείας τεκοῦσα·
χαῖρε, πάσης ἀσπόρου νυμφεύσεως·
χαῖρε, πιστοὺς κυρίῳ ἁρμόζουσα·
χαῖρε, καλὴ κουροτρόφε παρθένων·
χαῖρε, ψυχῶν νυμφοστόλε ἁγίων·
χαῖρε, νύμφη ἀνύμφευτε.

Ὕμνος ἅπας ἡττᾶται, | συνεκτείνεσθαι σπεύδων
τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου·
ἰσαρίθμους γὰρ [τῇ] ψάμμῳ ὠδὰς
ἂν προσφέρωμέν σοι, βασιλεῦ ἅγιε,
οὐδὲν τελοῦμεν ἄξιον, | ὧν δέδωκας ἡμῖν [τοῖς σοῖ] βοῶσιν·
Ἀλληλούϊα.

Φωτοδόχον λαμπάδα | τοῖς ἐν σκότει φανεῖσαν
ὁρῶμεν τὴν ἁγίαν παρθένον·
τὸ γὰρ ἄϋλον ἅπτουσα φῶς
ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν ἅπαντας,
αὐγῇ τὸν νοῦν φωτίζουσα, | κραυγῇ δὲ τιμωμένη ταύτῃ·
χαῖρε, ἀκτὶς νοητοῦ ἡλίου·
χαῖρε, βολὶς τοῦ ἀδύτου φέγγους·
χαῖρε, ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα·
χαῖρε, ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα·
χαῖρε, ὅτι τὸν πολύφωτον | ἀνατέλλεις φωτισμόν·
χαῖρε, ὅτι τὸν πολύρρυτον | ἀναβλύζεις ποταμόν·
χαῖρε, τῆς κολυμβήθρας | ζωγραφοῦσα τὸν τύπον·
χαῖρε, τῆς ἁμαρτίας | ἀναιροῦσα τὸν ῥύπον·
χαῖρε, λουτὴρ ἐκπλύνων συνείδησιν·
χαῖρε, κρατὴρ κιρνῶν ἀγαλλίασιν·
χαῖρε, ὀσμὴ τῆς Χριστοῦ εὐωδίας·
χαῖρε, ζωὴ μυστικῆς εὐωχίας·
χαῖρε, νύμφη ἀνύμφευτε.

Χάριν δοῦναι θελήσας | ὀφλημάτων ἀρχαίων
ὁ πάντων χρεωλύτης ἀνθρώπων,
ἐπεδήμησε δι' ἑαυτοῦ
πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ χάριτος·
καὶ σχίσας τὸ χειρόγραφον | ἀκούει παρὰ πάντων οὕτως·
Ἀλληλούϊα.

Ψάλλοντές σου τὸν τόκον | ἀνυμνοῦμέν σε πάντες
ὡς ἔμψυχον ναόν, θεοτόκε·
ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρὶ
ὁ συνέχων πάντα τῇ χειρὶ κύριος
ἡγίασεν, ἐδόξασεν, | ἐδίδαξε βοᾷν σοι πάντας·
χαῖρε, σκηνὴ τοῦ θεοῦ καὶ λόγου·
χαῖρε, ἁγία ἁγίων μείζων.
χαῖρε, κιβωτὲ χρυσωθεῖσα τῷ πνεύματι·
χαῖρε, θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε·
χαῖρε, τίμιον διάδημα | βασιλέων εὐσεβῶν·
χαῖρε, καύχημα σεβάσμιον | ἱερέων εὐλαβῶν.
χαῖρε, τῆς ἐκκλησίας | ὁ ἀσάλευτος πύργος·
χαῖρε, τῆς βασιλείας | τὸ ἀπόρθητον τεῖχος·

χαῖρε, δι' ἧς ἐγείρονται τρόπαια·
χαῖρε, δι' ἧς ἐχθροὶ καταπίπτουσι·
χαῖρε, χρωτὸς τοῦ ἐμοῦ θεραπεία·
χαῖρε, ψυχῆς τῆς ἐμῆς σωτηρία·
χαῖρε, νύμφη ἀνύμφευτε.

Ὦ πανύμνητε μῆτερ, | ἡ τεκοῦσα τὸν πάντων
ἁγίων ἁγιώτατον λόγον,
δεξαμένη τὴν νῦν προσφορὰν,
ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας
καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως | τοὺς συμβοῶντας·
Ἀλληλούϊα.

(Κατά τήν ἔκδοση :
W.Christ-M.Paranikas, Anthologia Graeca
Carminum Christianorum, Lipsiae 1871,140-147)

13.- ΑΝΔΡΕΑΣ ΚΡΗΤΗΣ

Αποσπάσματα από τον Μ.Κανόνα

ᾠδὴ δ'.

Ἀκήκοεν ὁ προφήτης | τὴν ἔλευσίν σου, κύριε,
καὶ ἐφοβήθη,
ὅτι μέλλεις ἐκ παρθένου τίκτεσθαι
καὶ ἀνθρώποις δείκνυσθαι καὶ ἔλεγεν·
ἀκήκοα τὴν ἀκοήν σου | καὶ ἐφοβήθην·
δόξα τῇ δυνάμει σου, κύριε.

Τὰ ἔργα σου μὴ παρίδῃς, | τὸ πλάσμα σου μὴ παρόψῃ,
δικαιοκρῖτα,
εἰ καὶ μόνος ἥμαρτον ὡς ἄνθρωπος
ὑπὲρ πάντα ἄνθρωπον, φιλάνθρωπε,
ἀλλ' ἔχεις ὡς κύριος πάντων | τὴν ἐξουσίαν
ἀφιέναι ἁμαρτήματα.

Ἐγγίζει, ψυχὴ, τὸ τέλος, | ἐγγίζει καὶ οὐ φροντίζεις,
οὐχ ἑτοιμάζῃ·
ὁ καιρὸς συντέμνει, διανάστηθι·
ἐγγὺς ἐπὶ θύραις ὁ κριτής ἐστιν·
ὡς ὄναρ, ὡς ἄνθος ὁ χρόνος | τοῦ βίου τρέχει·
τί μάτην ταραττόμεθα;

Ἀνάνηψον, ὦ ψυχή μου, | τὰς πράξεις σου, ἃς εἰργάσω,
ἀναλογίζου,
καὶ ταύταις ἐπ' ὄψεσι προσάγαγε
καὶ σταγόνας στάλαξον δακρύων σου·
εἰπὲ παρρησίᾳ τὰς πράξεις, | τὰς ἐνθυμήσεις
Χριστῷ καὶ δικαιώθητι.

Οὐ γέγονεν ἐν τῷ βίῳ | ἁμάρτημα οὐδὲ πρᾶξις,
οὐδὲ κακία,
ἣν ἐγὼ, σωτὴρ, οὐκ ἐπλημμέλησα
κατὰ νοῦν καὶ λόγον καὶ προαίρεσιν,
καὶ θέσει καὶ γνώμῃ καὶ πράξει | ἐξαμαρτήσας
ὡς ἄλλος οὐδεὶς πώποτε.

Ἐντεῦθεν καὶ κατεκρίθην, | ἐντεῦθεν κατεδικάσθην
ἐγὼ ὁ τάλας
ὑπὸ τῆς οἰκείας συνειδήσεως,
ἧς οὐδὲν ἐν [τῷ] κόσμῳ βιαιότερον·
κριτὰ, λυτρωτά μου καὶ γνῶστα, | φεῖσαι καὶ ῥῦσαι
καὶ σῶσόν με τὸν δείλαιον.

Ἡ κλίμαξ, ἣν εἶδε πάλαι | ὁ μέγας ἐν πατριάρχαις,
δεῖγμα, ψυχή μου,
πρακτικῆς ὑπάρχει ἐπιβάσεως,
γνωστικῆς τυγχάνει ἀναβάσεως·
εἰ θέλεις οὖν πράξει καὶ γνώσει | καὶ θεωρίᾳ
βιοῦν, ἀνακαινίσθητι.

Τὸν καύσωνα τῆς ἡμέρας | ὑπέμεινε δι' ἔνδειαν
ὁ πατριάρχης
καὶ τὸν παγετὸν τῆς νυκτὸς ἤνεγκε,
καθ' ἡμέραν κλέμματα ποιούμενος,
ποιμαίνων, πυκτεύων, δουλεύων, | ἵνα τὰς δύο
γυναῖκας εἰσαγάγηται.

Γυναῖκάς μοι δύο νόει | τὴν πρᾶξίν τε καὶ τὴν γνῶσιν
ἐν θεωρίᾳ·
τὴν μὲν Λείαν πρᾶξιν, ὡς πολύτεκνον,
τὴν Ῥαχὴλ δὲ γνῶσιν, ὡς πολύπονον·
καὶ γὰρ ἄνευ πόνων οὐ πρᾶξις, | οὐ θεωρία,
ψυχή, κατορθωθήσεται.

Ἀμέριστον τῇ οὐσίᾳ, | ἀσύγχυτον τοῖς προσώποις
θεολογῶ σε,
τὴν τριαδικὴν μίαν θεότητα
ὡς ὁμοβασίλειον καὶ σύνθρονον·
βοῶ σοι τὸ ᾆσμα τὸ μέγα, | τὸ ἐν ὑψίστοις
τρισσῶς ὑμνολογούμενον.

Καὶ τίκτεις καὶ παρθενεύεις | καὶ μένεις δι' ἀμφοτέρων
φύσει παρθένος·
ὁ τεχθεὶς καινίζει νόμους φύσεως·
ἡ νηδὺς δὲ κύει μὴ λοχεύουσα·
θεὸς ὅπου θέλει, νικᾶται | φύσεως τάξις·
ποιεῖ γὰρ ὅσα βούλεται.

ᾠδὴ ε'.

Ἐκ νυκτὸς ὀρθρίζοντα, φιλάνθρωπε, | φώτισον, δέομαι,
καὶ ὁδήγησον κἀμὲ | ἐν τοῖς προστάγμασί σου
καὶ δίδαξόν με, σωτήρ, | ποιεῖν τὸ θέλημά σου.

Ἐν νυκτὶ τὸν βίον μου διῆλθον ἀεί· | σκότος γὰρ γέγονε
καὶ βαθεῖά μοι ἀχλὺς | ἡ νὺξ τῆς ἁμαρτίας·
ἀλλ' ὡς ἡμέρας υἱόν, σωτήρ, | ἀνάδειξόν με.

Τὸν Ῥουβὶμ μιμούμενος ὁ τάλας ἐγὼ | ἔπραξα ἄθεσμον
καὶ παράνομον βουλὴν | κατὰ θεοῦ ὑψίστου,
μιάνας κοίτην ἐμὴν | ὡς τοῦ πατρὸς ἐκεῖνος.

Ἐξομολογοῦμαί σοι, Χριστὲ βασιλεῦ· | ἥμαρτον, ἥμαρτον
ὡς οἱ πρὶν τὸν Ἰωσὴφ | ἀδελφοὶ πεπρακότες
τὸν τῆς ἁγνείας καρπὸν | καὶ τὸν τῆς σωφροσύνης·

Ὑπὸ τῶν συγγόνων ἡ δικαία ψυχὴ | δέδοτο, πέπρατο
εἰς δουλείαν, ὁ γλυκὺς | εἰς τύπον τοῦ κυρίου,
αὐτὴ δὲ ὅλη, ψυχή, | ἐπράθης τοῖς κακοῖς σου.

Ἰωσὴφ τὸν δίκαιον καὶ σώφρονα νοῦν | μίμησαι, τάλαινα
καὶ ἀδόκιμε ψυχή, | καὶ μὴ ἀκολασταίνου
ταῖς παρανόμοις ὁρμαῖς | ἀεὶ παρανομοῦσα.

Εἰ καὶ λάκκῳ ᾤκησε ποτὲ Ἰωσὴφ, | δέσποτα κύριε,
ἀλλ' εἰς τύπον τῆς ταφῆς | καὶ τῆς ἐγέρσεώς σου·
ἐγὼ δὲ τί σοι ποτὲ | τοιοῦτο προσενέγκω;

Σὲ, τριὰς, δοξάζομεν τὸν ἕνα θεὸν, | ἅγιος, ἅγιος,
ἅγιος εἶ ὁ πατὴρ, | ὁ υἱὸς καὶ τὸ πνεῦμα,
ἁπλῆ οὐσία, μονὰς | ἀεὶ προσκυνουμένη.

Ἐκ σοῦ ἡμφιέσατο τὸ φύραμά μου, | ἄφθορε ἄνανδρε,
μητροπάρθενε, θεὸς | ὁ κτίσας τοὺς αἰῶνας
καὶ ἥνωσεν ἑαυτῷ | τὴν τῶν ἀνθρώπων φύσιν.

(Κατά την έκδοση :W.CHRIST-M.PARANIKAS,Anthologia Graeca Carminum Christianorum,Lipsiae 1871,150-152)

ΚΟΣΜΑΣ Ο ΜΕΛΩΔΟΣ

ΚΑΝΟΝΕΣ

Κανὼν εἰς τὴν τοῦ Χριστοῦ γέννησιν (Δεκ. 25).
Ἡ ἀκροστιχίς· «Χριστὸς βροτωθεὶς ἦν ὅπερ θεὸς μένη.»
ἦχος α΄.

ᾠδὴ α΄.

Χριστὸς γεννᾶται· δοξάσατε·
Χριστὸς ἐξ οὐρανῶν· ἀπαντήσατε·
Χριστὸς ἐπὶ γῆς· ὑψώθητε·
ᾄσατε τῷ κυρίῳ | πᾶσα ἡ γῆ
καὶ ἐν εὐφροσύνῃ | ἀνυμνήσατε, λαοί,
ὅτι δεδόξασται.

Ῥεύσαντα ἐκ παραβάσεως
θεοῦ τὸν κατ' εἰκόνα γενόμενον,
ὅλον τῆς φθορᾶς ὑπάρξαντα,
κρείττονος ἐπταικότα | θείας ζωῆς
αὖθις ἀναπλάττει | ὁ σοφὸς δημιουργός,
ὅτι δεδόξασται.

Ἰδὼν ὁ κτίστης ὀλλύμενον
τὸν ἄνθρωπον, χερσὶν ὃν ἐποίησε,
κλίνας οὐρανοὺς κατέρχεται·
τοῦτον δὲ ἐκ παρθένου | θείας ἁγνῆς
ὅλον ὁσιοῦται | ἀληθείᾳ σαρκωθείς,
ὅτι δεδόξασται.

Σοφία, λόγος καὶ δύναμις,
υἱὸς ὢν τοῦ πατρὸς καὶ ἀπαύγασμα,
Χριστὸς ὁ θεὸς δυνάμεις λαθών,
ὅσας ὑπερκοσμίους, | ὅσας ἐν γῇ,
καὶ ἐνανθρωπήσας | ἀνεκτήσατο ἡμᾶς,
ὅτι δεδόξασται.

ᾠδὴ γ΄.

Τῷ πρὸ τῶν αἰώνων
ἐκ πατρὸς γεννηθέντι | ἀρρεύστως υἱῷ
καὶ ἐπ' ἐσχάτων ἐκ παρθένου
σαρκωθέντι ἀσπόρως
Χριστῷ τῷ θεῷ | βοήσωμεν
Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν
ἅγιος εἶ, κύριε.

Ὁ τῆς ἐπιπνοίας
μετασχὼν τῆς ἀμείνω | Ἀδὰμ χοϊκὸς
καὶ πρὸς φθορὰν κατολισθήσας
γυναικείᾳ ἀπάτῃ
Χριστῷ γυναικὸς | βοᾷ ἐξ ὀρῶν·
Ὁ δι' ἐμὲ κατ' ἐμὲ γεγονὼς
ἅγιος εἶ, κύριε.

Σύμμορφος πηλίνης,
εὐτελοῦς διαρτίας, | Χριστὲ, γεγονὼς
καὶ μετοχῇ σαρκὸς τῆς χείρω
μεταδοὺς θείας φύτλης,
βροτὸς πεφυκὼς | καὶ μείνας θεὸς
καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν,
ἅγιος εἶ, κύριε.

Βηθλεὲμ εὐφραίνου,
ἡγεμόνων Ἰούδα | βασίλεια·
τὸν Ἰσραὴλ γὰρ ὁ ποιμαίνων,
Χερουβὶμ ὁ ἐπ' ὤμων,
ἐκ σοῦ προελθὼν | Χριστὸς ἐμφανῶς
καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν,
πάντων ἐβασίλευσεν.

ᾠδὴ δ'.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ
καὶ ἄνθος ἐξ αὐτῆς, Χριστὲ,
ἐκ τῆς παρθένου ἐνεβλάστησας·
ἐξ ὄρους ὁ αἰνετὸς | κατασκίου δασέος
ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου
ὁ ἄϋλος καὶ θεός·
δόξα τῇ δυνάμει σου, κύριε.

Ὃν πάλαι προεῖπεν Ἰακὼβ
ἐθνῶν ἀπεκδοχὴν, Χριστὲ,
φυλῆς Ἰούδα ἐξανέτειλας
καὶ δύναμιν Δαμασκοῦ,
Σαμαρείας σκῦλά τε
ἦλθες προνομεύσων, πλάνην τρέπων
εἰς πίστιν θεοτερπῆ·
δόξα τῇ δυνάμει σου, κύριε.

Τοῦ μάντεως πάλαι Βαλαὰμ
τῶν λόγων μυητὰς σοφοὺς
ἀστεροσκόπους χαρᾶς ἔπλησας,
ἀστὴρ ἐκ τοῦ Ἰακὼβ
ἀνατείλας, δέσποτα·
ἐθνῶν ἀπαρχὴν εἰσαγομένους
ἐδέξω δὲ προφανῶς·
δόξα τῇ δυνάμει σου, κύριε.

Ὡς πόκῳ γαστρὶ παρθενικῇ
κατέβης ὑετὸς, Χριστὲ,
καὶ ὡς σταγόνες ἐν γῇ στάζουσαι·
Αἰθίοπες καὶ Θαρσεῖς
καὶ Ἀράβων νῆσοί τε,
Σαβᾶ, Μήδων, πάσης γῆς κρατοῦντες
προσέπεσόν σοι, σωτήρ·
δόξα τῇ δυνάμει σου, κύριε.

ᾠδὴ ε'.

Θεὸς ὢν εἰρήνης, πατὴρ οἰκτιρμῶν,
τῆς μεγάλης βουλῆς σου τὸν ἄγγελον
εἰρήνην παρεχόμενον
ἀπέστειλας ἡμῖν·
ὅθεν θεογνωσίας
πρὸς φῶς ὁδηγηθέντες,
ἐκ νυκτὸς ὀρθρίζοντες
δοξολογοῦμέν σε, φιλάνθρωπε.

Ἐν δούλοις τῷ Καίσαρος δόγματι
ἀπεγράφης πιθήσας καὶ δούλους ἡμᾶς
ἐχθροῦ καὶ ἁμαρτίας
ἠλευθέρωσας, Χριστέ.
ὅλον τὸ καθ' ἡμᾶς δὲ
πτωχεύσας καὶ χοϊκὸν
ἐξ αὐτῆς ἑνώσεως
καὶ κοινωνίας ἐθεούργησας.

Ἰδοὺ ἡ παρθένος, ὡς πάλαι φησὶν,
ἐν γαστρὶ συλλαβοῦσα ἐκύησεν
θεὸν ἐνανθρωπήσαντα
καὶ μένει παρθένος·
δι' ἧς καταλλαγέντες | θεῷ οἱ ἁμαρτωλοὶ
θεοτόκον κυρίως
οὖσαν ἐν πίστει ἀνυμνήσωμεν.

ᾠδὴ ϛ΄.

Σπλάγχνων Ἰωνᾶν | ἔμβρυον ἀπήμεσεν
ἐνάλιος θὴρ, | οἷον ἐδέξατο·
τῇ παρθένῳ δὲ
ἐνοικήσας ὁ λόγος καὶ σάρκα λαβὼν
διελήλυθε φυλάξας ἀδιάφθορον·
ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως
τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Ἦλθε σαρκωθεὶς | Χριστὸς ὁ θεὸς ἡμῶν,
γαστρὸς ὃν πατὴρ
πρὸ Ἑωσφόρου γεννᾷ·
τὰς ἡνίας δὲ
ὁ κρατῶν τῶν ἀχράντων δυνάμεων
ἐν φάτνῃ τῶν ἀλόγων ἀνακλίνεται,
ῥάκει σπαργανοῦται, λύει δὲ
πολυπλόκους σειρὰς παραπτώσεων.

Νέον ἐξ Ἀδὰμ | παιδίον φυράματος
ἐτέχθη υἱὸς | καὶ πιστοῖς δέδοται·
τοῦ δὲ μέλλοντος
οὗτός ἐστιν αἰῶνος πατὴρ καὶ ἄρχων
καὶ καλεῖται τῆς μεγάλης βουλῆς
ἄγγελος·
οὗτος ἰσχυρὸς θεός ἐστι
καὶ κρατῶν ἐξουσίᾳ τῆς κτίσεως.

ᾠδὴ ζ΄.

Οἱ παῖδες εὐσεβείᾳ
συντραφέντες, δυσσεβοῦς προστάγ-
καταφρονήσαντες [ματος
πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν,
ἀλλ᾽ ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες
ἔψαλλον·
ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.

Ποιμένες ἀγραυλοῦντες
ἐκπλαγοῦς φωτοφανείας ἔτυχον·
δόξα κυρίου γὰρ
αὐτοὺς περιέλαμψε καὶ ἄγγελος,
ἀνυμνήσατε, βοῶν, ὅτι ἐτέχθη
Χριστός·
ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.

Ἐξαίφνης σὺν τῷ λόγῳ
τοῦ ἀγγέλου οὐρανῶν στρατεύματα,
δόξα, ἐκραύγαζον,
θεῷ ἐν ὑψίστοις, ἐπὶ γῆς εἰρήνη,
ἐν ἀνθρώποις εὐδοκία Χριστὸς
ἔλαμψεν·
ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.

Ῥῆμα τί τοῦτο; εἶπον
οἱ ποιμένες, διελθόντες ἴδωμεν
τὸ γεγονὸς θεῖον,
Χριστόν· Βηθλεὲμ καταλαβόντες δὲ
σὺν [τῇ] τεκούσῃ προσεκύνουν ἀνα-
μέλποντες·
ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η΄.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος
ἐξεικόνισε κάμινος τρόπον·
οὐ γὰρ οὖς ἐδέξατο φλέγει νέους,
ὡς οὐδὲ πῦρ
τῆς θεότητος παρθένου ἦν ὑπέδυ
νηδύν·
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω
εἰς πάντας τοὺς αἰῶνας.

Ἕλκει Βαβυλῶνος ἡ θυγάτηρ παῖδας
δορικτήτους Δαυῒδ ἐκ Σιὼν αὐτῇ·
δωροφόρους πέμπει δὲ μάγους παῖδας,
τὴν τοῦ Δαυῒδ
θεοδόχον θυγατέρα λιτανεύσοντας·
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω
εἰς πάντας τοὺς αἰῶνας.

Ὄργανα παρέκλινε τὸ πένθος ᾠδῆς·
οὐ γὰρ ᾔδον ἐν νόθοις οἱ παῖδες Σιών·
Βαβυλῶνος λύει δὲ πλάνην πᾶσαν
καὶ μουσικῶν
ἁρμονίαν Βηθλεὲμ ἐξανατείλας Χρι-
στός·

διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω
εἰς πάντας τοὺς αἰῶνας.

Σκῦλα Βαβυλὼν τῆς βασιλίδος Σιὼν
καὶ δορίκτητον ὅλβον ἐδέξατο·
θησαυροὺς Χριστὸς ἐν Σιὼν δὲ ταύτης
καὶ βασιλεῖς
σὺν ἀστέρι ὁδηγῷ ἀστροπολοῦντας
ἕλκει·
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ΄.

Μυστήριον ξένον | ὁρῶ καὶ παράδοξον!
οὐρανὸν τὸ σπήλαιον, θρόνον χερουβικὸν
τὴν παρθένον, τὴν φάτνην χωρίον,
ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος
Χριστὸς ὁ θεὸς.
ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαίσιον δρόμον | ὁρῶντες οἱ μάγοι
ἀσυνήθους νέου ἀστέρος ἀρτιφανοῦς
οὐρανίου ὑπερλάμποντος,
Χριστὸν βασιλέα ἐτεκμήραντο
ἐν γῇ γεννηθέντα
Βηθλεὲμ εἰς σωτηρίαν ἡμῶν.

Νεηγενὲς, μάγων | λεγόντων, παιδίον
ἄναξ, οὗ ἀστὴρ ἐφάνη, ποῦ ἐστιν;
εἰς γὰρ
ἐκείνου προσκύνησιν ἥκομεν,
μανεὶς ὁ Ἡρώδης ἐταράττετο,
Χριστὸν ἀνελεῖν
ὁ θεομάχος φρυαττόμενος.

Ἠκρίβωσε χρόνον | Ἡρώδης ἀστέρος,
οὗ ταῖς ἡγεσίαις οἱ μάγοι ἐν Βηθλεὲμ
προσκυνοῦσι Χριστὸν σὺν δώροις·
ὑφ᾽ οὗ πρὸς πατρίδα ὁδηγούμενοι
δεινὸν παιδοκτόνον
ἐγκατέλιπον παιζόμενον.

Ο ΚΑΝΩΝ ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ

Οι ειρμοί όλων των ωδών,καθώς και ολόκληρο το τετραώδιο των ωδών ς'-θ'(Τετραώδιο του Μ.Σαββάτου) είναι ποίημα του Κοσμά του Μελωδού.Τα τροπάρια μόνο των τεσσάρων πρώτων ωδών είναι ποίημα του Μάρκου επισκόπου Υδρούντος.Πρβλ. Θ.ΔΕΤΟΡΑΚΗ, Κοσμάς ο Μελωδός.Βίος και έργο,Θεσσαλονίκη 1979, σσ. 209-212.

Ἡ ἀκροστιχίς:
«Καὶ σήμερον δὲ σάββατον μέλπω μέγα.»
ἦχος πλ. β'.
ᾠδὴ α'.

Κύματι θαλάσσης | τὸν κρύψαντα πάλαι
διώκτην τύραννον
ὑπὸ γῆν ἔκρυψαν | τῶν σεσωσμένων οἱ παῖδες·
ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες | τῷ κυρίῳ ᾄσωμεν·
ἐνδόξως γὰρ δεδόξασται.

Κύριε θεέ μου, | ἐξόδιον ὕμνον
καὶ ἐπιτάφιον
ᾠδήν σοι ᾄσομαι, | τῷ τῇ ταφῇ σου ζωῆς μοι
τὰς εἰσόδους διανοίξαντι | καὶ θανάτῳ θάνατον
καὶ ᾅδην θανατώσαντι.

Ἄνω σε ἐν θρόνῳ | καὶ κάτω ἐν τάφῳ
τὰ ὑπερκόσμια
καὶ ὑποχθόνια | κατανοοῦντα, σωτήρ μου,
ἐδονεῖτο τῇ νεκρώσει σου· | ὑπὲρ νοῦν ὡράθης γὰρ
νεκρὸς ζωαρχικώτατος.

Ἵνα σου τῆς δόξης | τὰ πάντα πληρώσῃς,
καταπεφοίτηκας
ἐν κατωτάτοις τῆς γῆς· | ἀπὸ γάρ σου οὐκ ἐκρύβη
ἡ ὑπόστασίς μου ἡ ἐν Ἀδάμ· | καὶ ταφεὶς φθαρέντα με
καινοποιεῖς, φιλάνθρωπε.

ᾠδὴ γ΄.

Σὲ τὸν ἐπὶ ὑδάτων | κρεμάσαντα
πᾶσαν τὴν γῆν ἀσχέτως
ἡ κτίσις κατιδοῦσα | ἐν τῷ Κρανίῳ κρεμάμενον,
θαμβητικῶς συνείχετο, | οὐκ ἔστιν ἅγιος
πλήν σου, κύριε, κραυγάζουσα.

Σύμβολα τῆς ταφῆς σου | παρέδειξας,
τὰς ὁράσεις πληθύνας·
νῦν δὲ τὰ κρύφιά σου | θεανδρικῶς διετράνωσας
καὶ τοῖς ἐν ᾅδου, δέσποτα, | οὐκ ἔστιν ἅγιος
πλήν σου, κύριε, κραυγάζουσιν.

Ἤπλωσας τὰς ἀγκάλας | καὶ ἥνωσας
τὰ τὸ πρὶν διεστῶτα·
καταστολῇ δὲ, σῶτερ, | τῇ ἐν σινδόνι καὶ μνήματι
πεπεδημένους ἔλυσας, | οὐκ ἔστιν ἅγιος
πλήν σου, κύριε, κραυγάζοντας.

Μνήματι καὶ σφραγῖσιν, | ἀχώρητε,
συνεσχέθης βουλήσει·
καὶ γὰρ τὴν δύναμίν σου | ταῖς ἐνεργείαις ἐγνώρισας
θεουργικῶς τοῖς μέλπουσιν· οὐκ ἔστιν ἅγιος
πλήν σου, κύριε φιλάνθρωπε.

ᾠδὴ δ΄.

Τὴν ἐν σταυρῷ σου θείαν κένωσιν
προορῶν Ἀββακοὺμ | ἐξεστηκὼς ἐβόα·
σὺ δυναστῶν διέκοψας | κράτος, ἀγαθὲ,
ὁμιλῶν τοῖς ἐν ᾅδῃ | ὡς παντοδύναμος.

Ἑβδόμην σήμερον ἡγίασας,
ἣν εὐλόγησας πρὶν | καταπαύσει τῶν ἔργων·
παράγεις γὰρ τὰ σύμπαντα | καὶ καινοποιεῖς
σαββατίζων, σωτήρ μου, | καὶ ἀνακτώμενος.

Ῥωμαλεότητι τοῦ κρείττονος
ἐκνικήσαντός σου | τῆς σαρκὸς ἡ ψυχή σου
διῄρηται· σπαράττουσι | ἄμφω γὰρ δεσμοὺς
τοῦ θανάτου καὶ ᾅδου, | λόγε, τῷ κράτει σου.

Ὁ ᾅδης, λόγε, συναντήσας σοι
ἐπικράνθη, βροτὸν | ὁρῶν τεθεωμένον,
κατάκτητον τοῖς μώλωψι | καὶ πανσθενουργὸν,
τῷ φρικτῷ τῆς μορφῆς δὲ | διαπεφώνηκεν.

ᾠδὴ ε΄.

Θεοφανείας σου, Χριστὲ,
τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης,
Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον
ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν·
ἀναστήσονται οἱ νεκροὶ | καὶ ἐγερθήσονται
οἱ ἐν τοῖς μνημείοις
καὶ πάντες οἱ ἐν τῇ γῇ ἀγαλλιάσονται.

Νεοποιεῖς τοὺς γηγενεῖς
ὁ πλαστουργὸς χοϊκὸς χρηματίσας,
καὶ σινδὼν καὶ τάφος ὑπεμφαίνουσι
τὸ συνόν σοι, λόγε, μυστήριον·
ὁ εὐσχήμων δὲ βουλευτὴς | τὴν τοῦ σὲ φύσαντος
βουλὴν σχηματίζει,
ἐν σοὶ μεγαλοπρεπῶς | καινοποιοῦντός με.

Διὰ θανάτου τὸ θνητὸν,
διὰ ταφῆς τὸ φθαρτὸν μεταβάλλεις·
ἀφθαρτίζεις γὰρ θεοπρεπέστατα
ἀπαθανατίζων τὸ πρόσλημμα·
ἡ γὰρ σάρξ σου διαφθορὰν | οὐκ εἶδε, δέσποτα,
οὐδὲ ἡ ψυχή σου εἰς ᾅδην
ξενοπρεπῶς | ἐγκαταλέλειπται.

Ἐξ ἀλοχεύτου προελθὼν
καὶ λογχευθεὶς τὴν πλευρὰν, πλαστουργέ μου,
ἐξ αὐτῆς εἰργάσω τὴν ἀνάπλασιν
τὴν τῆς Εὔας, Ἀδὰμ γενόμενος,
ἀφυπνώσας ὑπερφυῶς | ὕπνον φυσίζωον
καὶ ζωὴν ἐγείρας
ἐξ ὕπνου καὶ τῆς φθορᾶς, | ὡς παντοδύναμος.

ᾠδὴ ς΄.

Συνεσχέθη, | ἀλλ᾽ οὐ κατεσχέθη
στέρνοις κητώοις Ἰωνᾶς·
σοῦ γὰρ τὸν τύπον φέρων
τοῦ παθόντος καὶ ταφῇ δοθέντος,
ὡς ἐκ θαλάμου, τοῦ θηρὸς ἀνέθορε·
προσεφώνει δὲ τῇ κουστωδίᾳ·
οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ
ἔλεον αὑτοῖς ἐγκατελίπετε.

Ἀνῃρέθης, | ἀλλ᾽ οὐ διῃρέθης,
λόγε, ἧς μετέσχες σαρκός·
εἰ γὰρ καὶ λέλυταί σου
ὁ ναὸς ἐν τῷ καιρῷ τοῦ πάθους,
ἀλλὰ καὶ οὕτω μία ἦν ὑπόστασις
τῆς θεότητος καὶ τῆς σαρκός σου·
ἐν ἀμφοτέροις γὰρ εἶς ὑπάρχεις υἱὸς,
λόγος τοῦ θεοῦ, θεὸς καὶ ἄνθρωπος.

Βροτοκτόνον, | ἀλλ᾽ οὐ θεοκτόνον
ἔφυ τὸ πταῖσμα τοῦ Ἀδάμ·
εἰ γὰρ καὶ πέπονθέ σου
τῆς σαρκὸς ἡ χοϊκὴ οὐσία,
ἀλλ᾽ ἡ θεότης ἀπαθὴς διέμεινε·
τὸ φθαρτὸν δέ σου πρὸς ἀφθαρσίαν
μετεστοιχείωσας καὶ ἀφθάρτου ζωῆς
ἔδειξας πηγὴν ἐξ ἀναστάσεως.

Βασιλεύει, | ἀλλ᾽ οὐκ αἰωνίζει
ᾅδης τοῦ γένους τῶν βροτῶν
σὺ γὰρ τεθεὶς ἐν τάφῳ,
κραταιὲ, ζωαρχικῇ παλάμῃ
τὰ τοῦ θανάτου κλεῖθρα διεσπάραξας
καὶ ἐκήρυξας τοῖς ἀπ᾽ αἰώνων
ἐκεῖ καθεύδουσι λύτρωσιν ἀψευδῆ,
σῶτερ γεγονὼς νεκρῶν πρωτότοκος.

ᾠδὴ ζ᾽.

Ἄφραστον θαῦμα! | ὁ ἐν καμίνῳ ῥυσάμενος
τοὺς ὁσίους παῖδας ἐκ φλογὸς
ἐν τάφῳ νεκρὸς | ἄπνους κατατίθεται
εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
λυτρωτὰ, | ὁ θεὸς εὐλογητὸς εἶ.

Τέτρωται ᾅδης, | ἐν τῇ καρδίᾳ δεξάμενος
τὸν τρωθέντα λόγχῃ τὴν πλευρὰν,
καὶ σθένει πυρὶ | θείῳ δαπανώμενος
εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
λυτρωτὰ, | ὁ θεὸς εὐλογητὸς εἶ.

Ὄλβιος τάφος! | ἐν ἑαυτῷ γὰρ δεξάμενος
ὡς ὑπνοῦντα τὸν δημιουργὸν,
ζωῆς θησαυρὸς | θείας ἀναδέδεικται
εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
λυτρωτὰ, | ὁ θεὸς εὐλογητὸς εἶ.

Νόμῳ θανόντων | τὴν ἐν τῷ τάφῳ κατάθεσιν
ἡ τῶν ὅλων δέχεται ζωὴ
καὶ τοῦτον πηγὴν | δείκνυσιν ἐγέρσεως
εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
λυτρωτὰ, | ὁ θεὸς εὐλογητὸς εἶ.

Μία ὑπῆρχεν | ἡ ἐν τῷ ᾅδῃ ἀχώριστος
καὶ ἐν τάφῳ καὶ ἐν τῇ Ἐδὲμ
θεότης Χριστοῦ | σὺν πατρὶ καὶ πνεύματι
εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
λυτρωτὰ, | ὁ θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η΄.

Ἔκστηθι φρίττων, οὐρανὲ,
καὶ σαλευθήτωσαν | τὰ θεμέλια τῆς γῆς·
ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται | ὁ ἐν ὑψίστοις οἰκῶν
καὶ τάφῳ μικρῷ ξενοδοχεῖται·
ὃν παῖδες εὐλογεῖτε, | ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

Λέλυται ἄχραντος ναὸς,
τὴν πεπτωκυῖαν δὲ | συνανίστησι σκηνήν·
Ἀδὰμ γὰρ τῷ προτέρῳ δεύτερος | ὁ ἐν ὑψίστοις οἰκῶν
κατῆλθε μέχρις ᾅδου ταμείων·
ὃν παῖδες εὐλογεῖτε, | ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

Πέπαυται τόλμα μαθητῶν,
Ἀριμαθαίας δὲ ἀριστεύει Ἰωσήφ·
νεκρὸν γὰρ καὶ γυμνὸν θεώμενος | τὸν ἐπὶ πάντων θεὸν
αἰτεῖται καὶ κηδεύει κραυγάζων·
οἱ παῖδες εὐλογεῖτε, | ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

Ὦ τῶν θαυμάτων τῶν καινῶν!
ὦ ἀγαθότητος! | ὦ ἀφράστου ἀνοχῆς!
ἑκὼν γὰρ ὑπὸ γῆν σφραγίζεται | ὁ ἐν ὑψίστοις οἰκῶν
καὶ πλάνος θεὸς συκοφαντεῖται·
ὃν παῖδες εὐλογεῖτε, | ἱερεῖς ἀνυμνεῖτε,
λαὸς ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ΄.

Μὴ ἐποδύρου μοι, μῆτερ, | καθορῶσα ἐν τάφῳ,
ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς | συνέλαβες υἱόν·
ἀναστήσομαι γὰρ καὶ δοξασθήσομαι
καὶ ὑψώσω ἐν δόξῃ | ἀπαύστως ὡς θεὸς
τοὺς ἐν πίστει καὶ πόθῳ | σὲ μεγαλύνοντας.

Ἐπὶ τῷ ξένῳ σου τόκῳ | τὰς ὠδῖνας φυγοῦσα
ὑπερφυῶς ἐμακαρίσθην, | ἄναρχε υἱέ·
νῦν δέ σε, θεέ μου, ἄπνουν ὁρῶσα νεκρὸν,
τῇ ῥομφαίᾳ τῆς λύπης | σπαράττομαι δεινῶς·
ἀλλ᾽ ἀνάστηθι, ὅπως | μεγαλυνθήσομαι.

Γῆ με καλύπτει ἑκόντα, | ἀλλὰ φρίττουσιν ᾅδου
οἱ πυλωροὶ, ἠμφιεσμένον | βλέποντες στολὴν
ἡμαγμένην, μῆτερ, τῆς ἐκδικήσεως·
τοὺς ἐχθροὺς ἐν σταυρῷ γὰρ | πατάξας ὡς θεὸς
ἀναστήσομαι αὖθις | καὶ μεγαλύνω σε.

Ἀγαλλιάσθω ἡ κτίσις, | εὐφραινέσθωσαν πάντες
οἱ γηγενεῖς· ὁ γὰρ ἐχθρὸς | ἐσκύλευται ᾅδης·
μετὰ μύρων γυναῖκες προσυπαντάτωσαν·
τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ | λυτροῦμαι παγγενῆ
καὶ τῇ τρίτῃ ἡμέρᾳ | ἐξαναστήσομαι.

15.-ΙΩΑΝΝΗΣ Ο ΔΑΜΑΣΚΗΝΟΣ

ΚΑΝΟΝΕΣ

I

Κανὼν ἰαμβικὸς εἰς τὴν Χριστοῦ γέννησιν (Δεκ. 25).

Ἡ ἀκροστιχίς:

Εὐεπίης μελέεσσιν ἐφύμνια ταῦτα λιγαίνει
υἱα θεοῦ, μερόπων εἵνεκα τικτόμενον
ἐν χθονὶ καὶ λύοντα πολύστονα πήματα κόσμου·
ἀλλ', ἄνα, ῥητῆρας ῥύεο τῶνδε πόνων.

ἦχος α΄.
ᾠδὴ α΄.

Ἔσωσε λαὸν θαυματουργῶν δεσπότης,
Ὑγρὸν θαλάσσης κῦμα χερσώσας πάλαι·
Ἐκὼν δὲ τεχθεὶς ἐκ κόρης, τρίβον βατὴν
Πόλου τίθησιν ἡμῖν, ὃν κατ' οὐσίαν
Ἰσόν τε πατρὶ καὶ βροτοῖς δοξάζομεν.

Ἤνεγκε γαστὴρ ἡγιασμένη λόγον,
Σαφῶς ἀφλέκτῳ ζωγραφουμένη βάτῳ,
Μιγέντα μορφῇ τῇ βροτησίᾳ θεὸν,
Εὔας τάλαιναν νηδὺν ἀρᾶς τῆς πάλαι
Λύοντα πικρᾶς, ὃν βροτοὶ δοξάζομεν.

Ἔδειξεν ἀστὴρ τὸν πρὸ ἡλίου λόγον,
Ἐλθόντα παῦσαι τὴν ἁμαρτίαν, μάγοις,
Σαφῶς πενιχρὸν εἰς σπέος, τὸν συμπαθῆ
Σὲ σπαργάνοις ἑλικτὸν, ὃν γεγηθότες
Ἴδον τὸν αὐτὸν καὶ βροτὸν καὶ κύριον.

ᾠδὴ γ΄.

Νεῦσον πρὸς ὕμνους οἰκετῶν, εὐεργέτα,
Ἐχθροῦ ταπεινῶν τὴν ἐπηρμένην ὀφρὺν,
Φέρων τε, παντεπόπτα, τῆς ἁμαρτίας
Ὑπερθεν ἀκλόνητον ἐστηριγμένους,
Μάκαρ, μελῳδοὺς τῇ βάσει τῆς πίστεως.

Νύμφης πανάγνου τὸν πανόλβιον τόκον
Ἰδεῖν ὑπὲρ νοῦν ἠξιωμένος χορὸς
Ἄγραυλος ἐκλονεῖτο τῷ ξένῳ τρόπῳ
Τάξιν μελῳδοῦσάν τε τῶν ἀσωμάτων
Ἄνακτα Χριστὸν, ἀσπόρως σαρκούμενον.

Ὕψους ἀνάσσων οὐρανῶν, εὐσπλαγχνίᾳ
Τελεῖ καθ' ἡμᾶς ἐξ ἀνυμφεύτου κόρης,
Ἄϋλος ὢν τὸ πρόσθεν, ἀλλ' ἐπ' ἐσχάτων
Λόγος παχυνθεὶς σαρκὶ, τὸν πεπτωκότα
Ἵνα πρὸς αὐτὸν ἑλκύσῃ πρωτόπλαστον.

Γένους βροτείου τὴν ἀνάπλασιν πάλαι
Ἄιδων προφήτης Ἀββακοὺμ προμηνύει,
Ἰδεῖν ἀφράστως ἀξιωθεὶς τὸν τύπον·
Νέον βρέφος γὰρ ἐξ ὄρους τῆς παρθένου
Ἐξῆλθε λαῶν εἰς ἀνάπλασιν λόγος.

ᾠδὴ δ΄.

Ἶσος προῆλθες τοῖς βροτοῖς ἑκουσίως,
Ὕψιστε, σάρκα προσλαβὼν ἐκ παρθένου,
Ἰὸν καθᾶραι τῆς δρακοντείας κάρας,
Ἄγων ἅπαντας πρὸς σέλας ζωηφόρον,
Θεὸς πεφυκὼς, ἐκ πυλῶν ἀνηλίων.

Ἔθνη τὰ πρόσθεν τῇ φθορᾷ βεβυσμένα,
Ὅλεθρον ἄρδην δυσμενοῦς πεφευγότα,
Ὑψοῦτε χεῖρας σὺν κρότοις ἐφυμνίοις,
Μόνον σέβοντες Χριστὸν ὡς εὐεργέτην,
Ἐν τοῖς καθ' ἡμᾶς συμπαθῶς ἀφιγμένον.

Ῥίζης φυεῖσα τοῦ Ἰεσσαὶ, παρθένε,
Ὄρους παρῆλθες τῶν βροτῶν τῆς οὐσίας,
Πατρὸς τεκοῦσα τὸν πρὸ αἰώνων λόγον,
Ὡς ηὐδόκησεν αὐτὸς ἐσφραγισμένην
Νηδὺν διελθεῖν τῇ κενώσει τῇ ξένῃ.

ᾠδὴ ε΄.

Ἐκ νυκτὸς ἔργων ἐσκοτισμένοις πλάνης
Ἱλασμὸν ἡμῖν, Χριστέ, τοῖς ἐγρηγόρως
Νῦν σοι τελοῦσιν ὕμνον ὡς εὐεργέτῃ,
Ἔλθοις πορίζων εὐχερῆ τε τὴν τρίβον,
Καθ' ἣν ἀνατρέχοντες εὕροιμεν κλέος.

Ἀπηνὲς ἔχθος τὸ πρὸς αὐτὸν δεσπότης
Τεμὼν διαμπὰξ σαρκὸς ἐν παρουσίᾳ
Ἵνα κρατοῦντος ὤλεσε θυμοφθόρου,
Κόσμον συνάπτων ταῖς ἀΰλοις οὐσίαις,
Τιθεὶς προσηνῆ τὸν τεκόντα τῇ κτίσει.

Ὁ λαὸς εἶδεν, ὁ πρὶν ἠμαυρωμένος
Μεθ' ἡμέραν φῶς τῆς ἄνω φρυκτωρίας·
Ἔθνη θεῷ δὲ κλῆρον υἱὸς προσφέρει,
Νέμων ἐκεῖσε τὴν ἀπόρρητον χάριν,
Οὗ πλεῖστον ἐξήνθησεν ἡ ἁμαρτία.

ᾠδὴ ς΄.

Ναίων Ἰωνᾶς ἐν μυχοῖς θαλαττίοις
Ἑλθεῖν ἐδεῖτο καὶ ζάλην ἀπαρκέσαι·
Νυγεὶς ἐγὼ δὲ τοῦ τυραννοῦντος βέλει,
Χριστέ, προσαυδῶ τὸν κακῶν ἀναιρέτην
Θᾶττον μολεῖν σε τῆς ἐμῆς ῥαθυμίας.

Ὅς ἦν ἐν ἀρχῇ πρὸς θεὸν θεὸς λόγος
Νυνὶ κρατύνει, μὴ σθένουσαν τὴν πάλαι
Ἰδὼν φυλάξαι, τὴν καθ' ἡμᾶς οὐσίαν,
Καθεὶς ἑαυτὸν δευτέρᾳ κοινωνίᾳ,
Αὖθις προφαίνων τῶν παθῶν ἐλευθέραν.

Ἵκται δι' ἡμᾶς Ἀβραὰμ ἐξ ὀσφύος,
Λυγρῶς πεσόντας ἐν ζόφῳ τῶν πταισμάτων
Υἱοὺς ἐγεῖραι τῶν κάτω νενευκότων,
Ὁ φῶς κατοικῶν, καὶ φάτνην παρ' ἀξίαν
Νῦν εὐδοκήσας εἰς βροτῶν σωτηρίαν.

ᾠδὴ ζ΄.

Τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ
Ἄπλητα θυμαίνοντος ἠγκιστρωμένοι
Παῖδες τυράννου δύσθεον γλωσσαλγίαν,
Οἷς εἴκαθε πῦρ ἄσπετον, τῷ δεσπότῃ
Λέγουσιν· εἰς αἰῶνας εὐλογητὸς εἶ.

Ὑπηρέτας μὲν ἐμμανῶς καταφλέγει,
Σώζει δὲ παφλάζουσα ῥοιζηδὸν νέους,
Ταῖς ἑπταμέτροις καύσεσι πυρ̣γουμένη,
Οὓς ἔστεφε φλὸξ, ἄφθονον τοῦ κυρίου
Νέμοντος εὐσεβείας εἵνεκα δρόσον.

Ἀρω̣γὲ Χριστὲ, τὸν βροτοῖς ἐναντίον,
Πρόβλημα τὴν σάρκωσιν ἀρρήτως ἔχων,
Ἴσχυνας, ὄλβον τῆς θεώσεως φέρων,
Μορφούμενος νῦν· ἧστινος δι' ἐλπίδα
Ἄνωθεν εἰς κευθμῶνας ἦλθομεν ζόφου.

Τὴν ἀγριωπὸν ἀκρατῶς γαυρουμένην,
Ἄσεμνα βακχεύσασαν, ἐξοιστρουμένην
Κόσμου καθεῖλες πανσθενῶς ἁμαρτίαν·
Οὓς εἵλκυσε πρὶν, σήμερον τῶν ἀρκύων
Σώζεις δὲ σαρκωθεὶς ἑκὼν, εὐεργέτα.

ᾠδὴ η'.

Μήτραν ἀφλέκτως εἰκονίζουσι κόρης
Οἱ τῆς παλαιᾶς πυρπολούμενοι νέοι
Ὑπερφυῶς κύουσαν, ἐσφραγισμένην·
Ἄμφω δὲ δρῶσα θαυματουργίᾳ μιᾷ
Λαοὺς πρὸς ὕμνον ἐξανίστησι χάρις.

Λύμην φυ̣γοῦσα τοῦ θεοῦσθαι τῇ πλάνῃ,
Ἄλλητον ὑμνεῖ τὸν κενούμενον λό̣γον
Νεανικῶς ἅπασα σὺν τρόμῳ κτίσις,
Ἄδοξον εὖχος δειματουμένη φέρειν
Ῥευστὴ γε̣γῶσα, κἂν σοφῶς ἐκαρτέρει.

Ἥκεις, πλανῆτιν πρὸς νομὴν ἐπιστρέφων
Τὴν ἀνθοποιὸν ἐξ ἐρημαίων λύφων
Ἡ τῶν ἐθνῶν ἔγερσις ἀνθρώπων φύσιν,
Ῥώμην βιαίαν τοῦ βροτοκτόνου σβέσαι,
Ἀνὴρ φανείς τε καὶ θεὸς προμηθείᾳ.

ᾠδὴ θ'.

Στέργειν μὲν ἡμᾶς, ὡς ἀκίνδυνον φόβῳ,
Ῥᾴον σιωπὴν· τῷ πόθῳ δὲ, παρθένε,
Ὕμνους ὑφαίνειν συντόνως τεθη̣γμένους
Ἐργῶδές ἐστιν, ἀλλὰ καὶ, μῆτερ, σθένος,
Ὅση πέφυκεν ἡ προαίρεσις, δίδου.

Τύπους ἀφεγγεῖς καὶ σκιὰς παρηγμένας,
Ὦ μῆτερ ἁγνὴ, τοῦ λόγου δεδορκότες
Νέον φανέντος ἐκ πύλης κεκλεισμένης,
Δοξούμενοί τε τῆς ἀληθείας φάος
Ἐπαξίως σὴν εὐλογοῦμεν γαστέρα.

Πόθου τετευχὼς καὶ θεοῦ παρουσίας
Ὁ χριστοτερπὴς λαὸς ἠξιωμένος
Νῦν ποτνιᾶται τῆς παλιγγενεσίας
Ὡς ζωοποιοῦ· τὴν χάριν δὲ, παρθένε,
Νέμοις, ἄχραντε, προσκυνῆσαι τὸ κλέος.

Κανὼν εἰς τὴν κυριακὴν τοῦ Πάσχα (Πεντηκ. σελ. 2)

ἦχος α΄.

ᾠδὴ α΄.

Ἀναστάσεως ἡμέρα, | λαμπρυνθῶμεν λαοί·
πάσχα κυρίου, πάσχα·
ἐκ γὰρ θανάτου πρὸς ζωὴν | καὶ ἐκ γῆς πρὸς οὐρανὸν
Χριστὸς ὁ θεὸς
ἡμᾶς διεβίβασεν, | ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις | καὶ ὀψόμεθα
τῷ ἀπροσίτῳ φωτὶ
τῆς ἀναστάσεως Χριστὸν | ἐξαστράπτοντα, καὶ
«χαίρετε» φάσκοντος
τρανῶς ἀκουσόμεθα, | ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως | εὐφραινέσθωσαν,
γῆ δὲ ἀγαλλιάσθω·
ἑορταζέτω δὲ κόσμος | ὁρατός τε ἅπας
καὶ ἀόρατος·
Χριστὸς γὰρ ἐγήγερται, | εὐφροσύνη αἰώνιος.

ᾠδὴ γ.

Δεῦτε πόμα πίωμεν καινὸν
οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον,
ἀλλ᾽ ἀφθαρσίας πηγὴν | ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ,
ἐν ᾧ στερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτὸς,
οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια·
ἑορταζέτω δὲ πᾶσα κτίσις | τὴν ἔγερσιν Χριστοῦ,
ἐν ᾧ στερεούμεθα.

Χθὲς συνεθαπτόμην σοι, Χριστὲ,
συνεγείρομαι σήμερον ἀναστάντι σοι·
συνεσταυρούμην σοι χθές· | αὐτός με συνδόξασον, σωτὴρ,
ἐν τῇ βασιλείᾳ σου.

ᾠδὴ δ΄.

Ἐπὶ τῆς θείας φυλακῆς | ὁ θεηγόρος Ἀββακοὺμ
στήτω μεθ' ἡμῶν καὶ δεικνύτω
φαεσφόρον ἄγγελον | διαπρυσίως λέγοντα·
σήμερον σωτηρία τῷ κόσμῳ,
ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Ἄρσην μὲν ὡς διανοίξας | τὴν παρθενεύουσαν νηδὺν
πέφηνε Χριστός· ὡς βροτὸς δὲ
ἀμνὸς προσηγόρευται· ἄμωμος δὲ ὡς ἄγευστος
κηλῖδος τὸ ἡμέτερον πάσχα,
καὶ ὡς θεὸς ἀληθὴς τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνὸς | ὁ εὐλογούμενος ἡμῖν
στέφανος Χριστὸς ἑκουσίως
ὑπὲρ πάντων τέθυται | πάσχα τὸ καθαρτήριον,
καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος
δικαιοσύνης ἡμῖν ἔλαμψεν ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαυὶδ | πρὸ τῆς σκιώδους κιβωτοῦ
ἥλατο σκιρτῶν· | ὁ λαὸς δὲ
τοῦ θεοῦ ὁ ἅγιος, | τὴν τῶν συμβόλων ἔκβασιν
ὁρῶντες, εὐφρανθῶμεν ἐνθέως,
ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

ᾠδὴ ε΄.

Ὀρθρίσωμεν ὄρθρου βαθέος
καὶ ἀντὶ μύρου τὸν ὕμνον | προσοίσομεν τῷ δεσπότῃ,
καὶ Χριστὸν ὀψόμεθα | δικαιοσύνης ἥλιον,
πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν
οἱ ταῖς τοῦ ᾅδου σειραῖς | συνεχόμενοι δεδορκότες
πρὸς τὸ φῶς ἠπείγοντο, | Χριστὲ, ἀγαλλομένῳ ποδὶ,
πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι
τῷ προϊόντι Χριστῷ | ἐκ τοῦ μνήματος ὡς νυμφίῳ,
καὶ συνεορτάσωμεν | ταῖς φιλεόρτοις τάξεσι
πάσχα θεοῦ τὸ σωτήριον.

ᾠδὴ ϛ'.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς
καὶ συνέτριψας μοχλοὺς | αἰωνίους κατόχους
πεπεδημένων, Χριστέ, | καὶ τριήμερος
ὡς ἐκ κήτους Ἰωνᾶς | ἐξανέστης τοῦ τάφου.

Φυλάξας τὰ σήμαντρα σῶα, Χριστέ,
ἐξηγέρθης τοῦ τάφου, | ὁ τὰς κλεῖς τῆς παρθένου
μὴ λυμηνάμενος | ἐν τῷ τόκῳ σου,
καὶ ἀνέῳξας ἡμῖν | παραδείσου τὰς πύλας.

Σωτήρ μου τὸ ζῶν τε καὶ ἄθυτον
ἱερεῖον ὡς θεὸς | σεαυτὸν ἑκουσίως
προσαγαγὼν τῷ πατρὶ | συνανέστησας
παγγενῆ τὸν Ἀδάμ, | ἀναστὰς ἐκ τοῦ τάφου.

ᾠδὴ ζ'.

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος
γενόμενος ἄνθρωπος
πάσχει ὡς θνητὸς | καὶ διὰ πάθους τὸ θνητὸν
ἀφθαρσίας ἐνδύει εὐπρέπειαν,
ὁ μόνος εὐλογητὸς τῶν πατέρων
θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες
ὀπίσω σου ἔδραμον·
ὃν δὲ ὡς θνητὸν | μετὰ δακρύων ἐζήτουν,
προσεκύνησαν χαίρουσαι ζῶντα θεόν,
καὶ πάσχα τὸ μυστικὸν σοῖς, Χριστέ,
μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν,
ᾅδου τὴν καθαίρεσιν,
ἄλλης βιοτῆς | τῆς αἰωνίου ἀπαρχήν,
καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον,
τὸν μόνον εὐλογητὸν τῶν πατέρων
θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος
αὕτη ἡ σωτήριος
νὺξ καὶ φωταυγὴς, | τῆς λαμπροφόρου ἡμέρας
τῆς ἐγέρσεως οὖσα προάγγελος,
ἐν ᾗ τὸ ἄχρονον φῶς ἐκ τάφου
σωματικῶς πᾶσιν ἐπέλαμψεν.

ᾠδὴ η΄.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα,
ἡ μία τῶν σαββάτων, | ἡ βασιλὶς καὶ κυρία,
ἑορτῶν ἑορτὴ | καὶ πανήγυρίς ἐστι πανηγύρεων,
ἐν ᾗ εὐλογοῦμεν | Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος,
τῆς θείας εὐφροσύνης, | ἐν τῇ εὐσήμῳ ἡμέρᾳ
τῆς ἐγέρσεως | βασιλείας τε Χριστοῦ κοινωνήσωμεν,
ὑμνοῦντες αὐτὸν | ὡς θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, Σιὼν, καὶ ἴδε·
ἰδοὺ γὰρ ἥκασί σοι | θεοφεγγεῖς ὡς φωστῆρες
ἐκ δυσμῶν καὶ βορρᾶ | καὶ θαλάσσης καὶ ἑῴας τὰ τέκνα σου,
ἐν σοὶ εὐλογοῦντα | Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ παντοκράτορ καὶ λόγε καὶ πνεῦμα,
τριὰς ἑνιζομένη | ἐν ὑποστάσεσι φύσις,
ὑπερούσιε | καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα
καὶ σὲ εὐλογοῦμεν | εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ΄.

Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλήμ·
ἡ γὰρ δόξα κυρίου | ἐπὶ σὲ ἀνέτειλε·
χόρευε νῦν καὶ ἀγάλλου, Σιών·
σὺ δὲ, ἁγνὴ, | τέρπου, θεοτόκε,
ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὦ θείας! ὢ φίλης! ὢ γλυκυτάτης σου φωνῆς!
μεθ' ἡμῶν ἀψευδῶς γὰρ | ἐπηγγείλω ἔσεσθαι
μέχρι τερμάτων αἰῶνος, Χριστέ·
ἣν οἱ πιστοὶ | ἄγκυραν ἐλπίδος
κατέχοντες ἀγαλλόμεθα.

Ὦ πάσχα τὸ μέγα | καὶ ἱερώτατον, Χριστέ·
ὢ σοφία καὶ λόγε | τοῦ θεοῦ καὶ δύναμις,
δίδου ἡμῖν ἐκτυπώτερον
σοῦ μετασχεῖν | ἐν τῇ ἀνεσπέρῳ
ἡμέρᾳ τῆς βασιλείας σου.

16.- ΙΩΣΗΦ Ο ΥΜΝΟΓΡΑΦΟΣ

Κανὼν εἰς τὴν θεοτόκον τῷ σαββάτῳ τοῦ ἀκαθίστου ὕμνου (Τριῳδ. σελ. 283).

Ἡ ἀκροστιχίς:

«Χαρᾶς δοχεῖον, σοὶ πρέπει χαίρειν μόνῃ· Ἰωσήφ.»

ἦχος δ΄.

ᾠδὴ α΄.

Χριστοῦ βίβλον ἔμψυχον | ἐσφραγισμένην σε πνεύματι
ὁ μέγας ἀρχάγγελος, | ἁγνὴ, θεώμενος
ἐπεφώνει σοι· | χαῖρε, χαρᾶς δοχεῖον,
δι' ἧς τῆς προμήτορος | ἀρὰ λυθήσεται.

Ἀδὰμ ἐπανόρθωσις, | χαῖρε παρθένε θεόνυμφε,
τοῦ ᾅδου ἡ νέκρωσις· | χαῖρε πανάμωμε,
τὸ παλάτιον | τοῦ πάντων βασιλέως·
χαῖρε θρόνε πύρινε | τοῦ παντοκράτορος.

Ῥόδον τὸ ἀμάραντον, | χαῖρε, ἡ μόνη βλαστήσασα·
τὸ μῆλον τὸ εὔοσμον, | χαῖρε, ἡ τέξασα·
τὸ ὀσφράδιον | τοῦ μόνου βασιλέως·
χαῖρε, ἀπειρόγαμε, | κόσμου διάσωσμα.

Ἁγνείας θησαύρισμα, | χαῖρε, δι' ἧς ἐκ τοῦ πτώματος
ἡμῶν ἐξανέστημεν· | χαῖρε ἡδύπνοον
κρίνον, δέσποινα, | πιστοὺς εὐωδιάζον·
θυμίαμα εὔοσμον, | μύρον πολύτιμον.

ᾠδὴ γ΄.

Στάχυν ἡ βλαστήσασα τὸν θεῖον
ὡς χώρα ἀνήροτος σαφῶς,
χαῖρε ἔμψυχε τράπεζα,
ἄρτον ζωῆς χωρήσασα·
χαῖρε τοῦ ζῶντος ὕδατος
πηγὴ ἀκένωτος, δέσποινα.

Δάμαλις τὸν μόσχον ἡ τεκοῦσα
τὸν ἄμωμον, χαῖρε, τοῖς πιστοῖς·
χαῖρε ἀμνὰς κυήσασα
θεοῦ ἀμνὸν τὸν αἴροντα
κόσμου παντὸς τὰ πταίσματα·
χαῖρε θερμὸν ἱλαστήριον.

Ὄρθρος φαεινὸς, χαῖρε, ἡ μόνη
τὸν ἥλιον φέρουσα Χριστὸν
φωτὸς κατοικητήριον,
χαῖρε τὸ σκότος λύσασα
καὶ τοὺς ζοφώδεις δαίμονας
ὁλοτελῶς ἐκμειώσασα.

Χαῖρε πύλη μόνη, ἣν ὁ λόγος
διώδευσε μόνος, ἡ μοχλοὺς
καὶ πύλας ᾅδου, δέσποινα,
τῷ τόκῳ σου συντρίψασα,
χαῖρε ἡ θεία εἴσοδος
τῶν σωζομένων, θεόνυμφε.

ᾨδὴ δ΄.

Ἐν φωναῖς ᾀσμάτων πίστει
σοὶ βοῶμεν, πανύμνητε·
χαῖρε πῖον ὄρος
καὶ τετυρωμένον ἐν πνεύματι·
χαῖρε λυχνία καὶ στάμνε | μάννα φέρουσα
τὸ γλυκαῖνον
τὰ τῶν εὐσεβῶν αἰσθητήρια.

Ἱλαστήριον τοῦ κόσμου,
χαῖρε, ἄχραντε δέσποινα·
χαῖρε κλίμαξ γῆθεν
πάντας ἀνυψώσασα χάριτι·
χαῖρε ἡ γέφυρα ὄντως | ἡ μετάγουσα
ἐκ θανάτου | πάντας πρὸς ζωὴν τοὺς
ὑμνοῦντάς σε.

Οὐρανῶν ὑψηλοτέρα,
χαῖρε, γῆς, τὸ θεμέλιον
ἐν τῇ σῇ νηδύϊ,
ἄχραντε, ἀκόπως βαστάσασα·
χαῖρε κογχύλη πορφύραν | θείαν βάψασα
ἐξ αἱμάτων σου
τῷ βασιλεῖ τῶν δυνάμεων.

Νομοθέτην ἡ τεκοῦσα
ἀληθῶς, χαῖρε δέσποινα,
τὸν τὰς ἀνομίας
πάντων δωρεὰν ἐξαλείφοντα·
ἀκατανόητον βάθος, | ὕψος ἄρρητον,
ἀπειρόγαμε, | δι' ἧς ἡμεῖς ἐθεώθημεν.

Σὲ τὴν πλέξασαν τῷ κόσμῳ
ἀχειρόπλοκον στέφανον
ἀνυμνολογοῦμεν,
χαῖρέ σοι, παρθένε, κραυγάζοντες,
τὸ φυλακτήριον πάντων | καὶ χαράκωμα
καὶ κραταίωμα | καὶ ἱερὸν καταφύγιον.

ᾠδὴ ε'.

Ὁδὸν ἡ κυήσασα
ζωῆς, χαῖρε, πανάμωμε,
ἡ κατακλυσμοῦ τῆς ἁμαρτίας
σώσασα κόσμον· | χαῖρε, θεόνυμφε,
ἄκουσμα καὶ λάλημα φρικτόν·
χαῖρε ἐνδιαίτημα
